ΚΑΡΑΚΤΑΚΟΣ

ΕΠΙ

ΜΩΝΗ.

ΚΑΡΑΚΤΑΚΟΣ

ΕΠΙ

ΜΩΝΗ.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ.

SIVE

CL. MASONI CARACTACUS

GRÆCO CARMINE REDDITUS

CUM VERSIONE LATINA.

A

GEORGIO HENRICO GLASSE, A. B.

Ædis Christi Alumno.

Τῆτο δ' ἀμάχανον εὑρεῖν,
Ὅ, τι νῦν καὶ ἐν τελευ-
τᾷ φέρτατον ἀνδρὶ τυχεῖν.

PIND. OLYMP. vii. 46.

OXONII:

E TYPOGRAPHEO CLARENDONIANO.

MDCC LXXXI.

ΚΑΡΑΚΤΗΡΕΣ

ΕΝ

ΗΘΩΝ.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ.

SIVE

CL. MASONI CARACTACUS

GRÆCO CARMINE REDDITUS

CUM VERSIONE LATINA.

A

GEORGIO HENRICO GLASSE, A. B.

ÆDIS CHRISTI ALUMNO.

Τῆτο δ' ἀμάχανον εὑρεῖν,
Ὅ, τι νῦν καὶ ἐν τελευ-
τᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
PIND. OLYMP. vii. 46.

OXONII:

E TYPOGRAPHEO CLARENDONIANO.

MDCC LXXXI.

ΚΑΡΑΚΤΗΡΟΣ ΕΠΙ ΜΩΝΗ.

SIVE

CL. MASONI CHARACTERISMUS

GRÆCO CARMINE REDDITUS

CUM VERSIONE LATINA.

MVSEVM
BRITAN
NICVM

OXONII:

E TYPOGRAPHEO CLARENDONIANO.

MDCC LXXXI.

ΥΠΟΘΕΣΙΣ.

ΚΑΡΑΚΤΑΚΟΣ, ἄναξ Σιλύρων, νικηθεὶς ὑπὸ τῦ Ὀσωρίυ, ἡγεμόνος Ῥωμαίυ, τ μὲν δάμαρτ Γυνηρίας ἐαλωκυίας, τῦ δ' υἱῦ Ἀραυράγυ ἢ ἐσφαγμένυ, ὡς ἐνομίζετο, ἢ εἰς Φυγὴν τετραμμένυ ὑπὸ τῶν πολεμίων, ἀπῆλθε σὺν τῇ θυγατρὶ αὐτῦ Εὐηλίνῃ, καὶ μετὰ τῶν Δρυϊδων Μωναίων εὗρε τὸ ἄσυλον. Ὀσώριος δὲ τῇ στρατιᾷ ἡγεῖτο εἰς τὸ μέρος ἀρκτικὸν τῆς Βρετταννίας, καὶ ἐδήωσε τ γῆν τῶν Βριγαντέων, ὅπυ ἐβασίλευσεν ἡ Καρτισμανδύα. Αὐτὴ δὲ, τὰς πολεμίυς φοβυμένη, σπονδὰς ἐποίησε σὺν τῷ στρατηγῷ, συντιθεμένη καὶ τοῖς Ῥωμαίοις ἐπιβοηθεῖν πρὸς τὸν Καράκτακον, ἵνα, αἰχμαλωτισθεὶς, τὸν τῦ Κλαυδίυ θρίαμβον διακοσμήσῃ. Ἄραγε τὰς υἱὰς, Φέλινον, καὶ Ἠλιοδῶρον, ὁμήρυς τῷ Ὀσωρίῳ παρεδίδυ· ἵνα αὐτὰς (εἰ μὴ τὸν βασιλέα ἀπὸ τῦ ἀγιαστηρίυ δύναιντο διὰ τῶν δόλων ἀφέλκειν,) εἰς Ῥώμην προσαγάγῃ. Πέμπει δὲ ὁ στρατίαρχος σὺν τοῖς χώροις λοχαγόν τινα, Αὖλον Δείδιον, καὶ δύναμιν ἱκανὴν τῦ διατελεῖν τὸ ἔργον. Περὶ μὲν ὖν τὴν μεσονυκτίαν ἀφίκοντο οἱ χῶροι εἰς τὴν τῆς θεᾶς Ἀνδράστης ὕλην, ἐν αὐτῷ καιρῷ, ὅπαν οἱ Δρυϊδες ἔμελλον προσλογίζεσθαι τῇ τάξει αὐτῶν τ Καράκταχον. Ἀλίσκυσι δὲ τὰς δύο Βριγαντεῖς.

Προσ-

Προσέρχεται καὶ ὁ Ἀραίραγος, ὃς ἐκ τῶν τῆς μάχης κινδύνων ἐσώζετο, καὶ τὸν χρόνον διῆγεν ἐν τῷ συλλέγειν τὴν στρατιὰν σκεδασθεῖσαν τῆς πατρὸς, ἵνα αὐτῷ ἔξῃ ἀντιτάξασθαι τοῖς πολεμίοις. Ἡ δὲ ἀνδρεία καὶ ὁ θάνατος Ἀραιράγυ, Εὐηλίνης ὀλοφυρμὸς, Φελίνυ δόλοι, Ἠλιδέρυ ἀρετὴ, Καρακτάκυ δὲ θάρσος καὶ αἰχμάλωσις, τὴν τραγῳδίαν παρέχουσι περιπαθῆ.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Μώνῃ· ὁ δὲ Χόρος συνέστηκεν ἐκ Δρυΐδων Μωναίων, οἱ καὶ παραγίνονται συμπαθήσαντες ταῖς Καρακτάκυ συμφοραῖς.

*** Monitum velim lectorem, EVELINÆ et ELIDURI colloquium in hâc versione esse omissum; necnon quasdam in Actu quinto fieri mutationes, ubi CARACTACO Nuncius ARVIRAGI victoriam narrat.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ ΓΑΛΛΟΣ. Λοχαγὸς Ῥωμαίος.

ΦΕΛΙΝΟΣ. } Υἱοὶ τῶν Βριγαντίων ἀνάσσης Καρτισμανδύας.
ΗΛΙΔΟΤΡΟΣ. }

ΧΟΡΟΣ Δρυΐδων.

ΚΑΡΑΚΤΑΚΟΣ.

ΕΤΗΛΙΝΗ. Θυγάτηρ Καρακτάκου.

ΑΡΑΙΡΑΓΟΣ. Υἱὸς Καρακτάκου.

ΑΓΓΕΛΟΣ.

ΘΕΡΑΠΩΝ.

ΕΞΑΓΓΕΛΟΣ, κ. τ. λ.

Προλογίζει δὲ ὁ Δείδιος.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ Α΄.

CARACTACUS APUD MONAM.

ACTUS I.

ARGUMENTUM ACTUS PRIMI.

EXORDIUM ſibi ſumit Tragœdia ab adventu AULI DIDII, VELINO et ELIDURO comitantibus, ad ſanctum circum in ſylvâ MONENSI, Deæ ANDRASTÆ ſacrâ. Occaſionem verò adventandi dux ROMANUS juvenibus exponit; ſcilicet, ut CARACTACO per dolum prehenſo, ad matrem redeundi illis daretur facultas, dum hic captus ad ROMAM duceretur.

DISCESSU autem AULI DIDII, maxima inter fratres exoritur contentio; quorum major natu conditiones libertatis lætus accipit, ELIDURUS autem ſummâ averſatione reſpuit. Finis tandem datur colloquio, deſcendente a montibus DRUIDUM choro: qui ſanctam luſtrationem inchoantes, ritus inſtituunt, quibus ex ordine peractis, CARACTACUS in ſacram ſocietatem foret adſcribendus.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ.

Α΄.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ, ΗΛΙΔΟΥΡΟΣ, ΦΕΛΙΝΟΣ.

ΙΑΜΒΟΙ.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Νῆσον λαθραῖον ἤκομεν πρὸς ὀμφαλόν·
Ὁρᾶθ', ὁρᾶτε θαῦμα — Δρῦς παλαίφατος
Ὄζοισι πυκνοῖς ἐξαπψύχει πέδον·
Ζοφόεις δ' ἀγωγὸς ὑδάτων, βόμβον διδὲς
Ἀγλυπτον ἀμφὶ βωμὸν, αἰδὲ κοιλάδες
Πετρῶν, ὁ γῦρος σωτεταγμένος λίθοις,
Σπήλαιά θ', ἱρῶν μάγγεων οἰκήματα,
Ὀρθοτελχι πλήξασι καρδίαν φόβῳ,
Ὡσεί τις ἔνθα δαιμόνων παρίστατο
Δηλημόνων, βαδίσμασίν τ' ἀπεχθέσι
Δεινῶς ἐφοίτα· πῶς τάδ' ἐστι, ξύμμαχοι;

Ἀμαυρὰ κἀν ᾖ δαιμόνων θεάματα,
φάντασμά τ' ἐκ ἀληθὲς, ἀλλὰ μὴν κρατεῖ
θεός τις ὧδ' ἐρημίας ὀρειάδος,
θυμῷ τύραννος· εἰ δὲ μήγε, τίπτ' ἐμὲ
δύσαγνος ἕτως δεισιδαιμονία πλοεῖ;
καὶ φρονήσω δ'. — Ἐκκαλεῖτε, πρόσπολοι,
Κύρυς Βελιαλεῖς· νῦν γὰρ ἄρχομαι σαφῶς
δεῖξαι σφὶν, εἰς τί πᾶγμα δεῦρ' ἱκάνομεν.
Ὦ τῆς ἀνάσσης πᾶιδε Καρτισμανδύας,
Ἐπιβαίνετον, προσεκτικοῖσί τ' ὄασιν
Ἐξῆς τὰ πάνθ', ἅτ' εἰσορῶ, δηλώσαλον.

ΗΛΙΔΟΤΡΟΣ.

Ῥωμαῖε, πῶ βαδίζεις; χῆ σεβασμία·
Μυςηρίδες πελωρίων τάξεις λίθων
Τόπον λέγυσ', ὅπῳ πολυπληθῆ Δρυὶς
Ἄγων ἑορτὴν, ἱρὸν εἰσπέμπει χόρον.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Πῶ τῶ γέροντός ἐςιν οἶκος; εἰπέ μοι.

ΦΕΛΙΝΟΣ.

Ἐκεῖ, λοχαγέ· νῦν σεληναίας φάος

Δείκνυσιν

Δείκνυσιν ἄντρον· οἱ δὲ λοιποὶ δασκίοις
Ναίσσ' ἐν ὕλαις, ἠδὲ πετρῶν κοιλάσιν.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Ἀλλ' ἐν λόφοισι μυρί' ἐξωρυγμένα
Σπήλαια νῦν ὄπωπα, καὶ προῤῥωτέρω
Πάμπολλα, δινήεντος ἐ μακρὰν σάλου.

ΗΛΙΔΟΤΡΟΣ.

Φύσιν γε παμμήτειραν οἱ ἔξ ἀριστερᾶς
Σκοπῶσι μάντεις· οἱ μὲν ἀστέρων φάσεις
Γαΐάν τε Φροντίζουσι· χώταν ἀγλαῶν
Χάριν θεαίνας ἐξαφίσανται πόνων,
Πάντες δι' ὕλην διακονῶσι ταχτικῶς.
Ναίσσι δ' ὑμνητῆρες ἐν κοιλώμασιν·
Ἔνθεν δὲ, παυσίλυπον ἀγνοῖς ἔμασι,
Φόρμιγζιν εὐκρέκτοισι καταβαίνουσ' ὁμῶ,
Μέλπουσι καὶ θαυμαστά. Δαίμονες Φίλοι
Γῆς θ', ὕδατός τε, παμφλέγοντός τ' ἠρανῦ
Κλύουσιν ἀσμῶν· ἐνθ' ὅτ' ἐκ ἀσώματοι·
Ἱρὸν γὰρ ἀρτύνουσιν ἐμφανῶς χόρον
Ἱερὴν πρὸς αὐδήν. — Εἰ δ' ἄλις βλέπων κύρεις,
Τί δῆτα μίμνεις; Φεῦγε πρὸς τὸ ναυτικόν·

Εἰ γὰρ μάθωσι τὴν ἄκαιρον εἴσοδον
Δρυΐδες, τάχ' ἂν σὺ δυσχερωτάτως φύγοις.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Οὐκ, ὦ Βριγαντεῦ, τήνδ' ἐναυσόλην χθόνα
Τῆς πραγματείας ἕνεκα· προσέρχομαι
Ὑπέρβιον διζήμενος Καράκταχον,
Ὃς, δυνάμεως στρατῷ τ' ἀπεστερημένος,
Ἐν τοῖσδε δρυμοῖς εὗρεν ἀσφαλῆ μονήν.

ΗΛΙΔΟΤΡΟΣ.

Εἰ δ' ἐνθάδ' οἰκεῖ, ῥᾴον ἐκ τῶνδ' ἀστέρων
Δύναι' ἀφέλκειν· ὕδεν ἀσφαλέστερον
Δίδωσ' ἄσυλον γαῖα· νέρθε γὰρ πέδε
Ἑκατὸν λαθραίαι ποικίλαι τ' ἀταρπιτοὶ,
Ἐξ ἀνλιπύργων ἐξορυχθεῖσαι πετρῶν,
Ἄγυσιν εἰς ἀπήλαιον, εὐρὺ, δύσβατον,
Οὗ μυσικοὺς ποιοῦσι θεσμοὺς ἄτρομοι
Μάντεις ὁμιχλῇ· ταῦτα γὰρ μυσήρια
Κρύψειε παμφανῶντος ἡλίου σέλας,
Μεσημβρίᾳ σίλβοντος· εἰς Μώνην φυγὼν
Διηνεκῶς λάθοιτο Σιλύρων ἄναξ.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Ἀλλ' εὐχερὲς θήρευμα Καρτισμανδύα
Ἔδειξεν ——

ΗΛΙΔΟΤΡΟΣ.

(Ὦ τάλαινα, πῶς ἔτλης ποιεῖν;)

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Ἡ, τ' βεβαίας πίστεως τεκμήριον,
Τὼ παῖδ', ὁμήρω Φιλπάτῳ, παρείχετο.

ΗΛΙΔΟΤΡΟΣ.

Ἐξοίδαμεν.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Ῥώμηνδε νῦν πορευτέον.
Πάτρας, φίλων τε, μητέρος τε μακρόθεν.

ΗΛΙΔΟΤΡΟΣ.

Τίη, στρατηγὲ, λοιδορεῖς τελοσθλίᾳς;

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Ἥκιστα· — μῶν ζητεῖτ' ἐλευθερίαν, ξένοι;

ΗΛΙΔΟΤΡΟΣ.

Δεινὸν βιῶναι τῆδ' ἄνευ χαρίσματος.

ΑΤΛΟΣ

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Εἰ δυσχερὲς τὸ πρᾶγος;

ΦΕΛΙΝΟΣ.

Εἰ πατέον.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Βαδίζετ' εἰς αὐήλατα· τοιάδ' ἔπιπλε·
" Πρὸς τ' ἀνάσσης ἦλθομεν Βριγαντέων,
" Ποθοῦντες ἐσθλὸν τὸν θένος Καρακτάκυ
" Ὁσωρίᾳ πρὸς ὄρειμον καλεῖν κρατὸν,
" Καταστρέφοντος γῆν τε, κ' πολίσματα."
Αὐτῆς γὰρ ὅρκος εἰς ἔτ' ἄγνωστος πέλει·
Σφράγισμά θ', ὑπέδωκε, πίστεως λόγων
Σημεῖον ἔσειν δῆλον. Αὐθείδης ἄναξ
Χαίρων ἀκούσῃ, κ' μᾶλ' ὠκὺς ἕψεται.
Ὑμεῖς δὲ πρὸς Μιναῖδ' ἠπειγημένον
Προσάγετε, κἀγὼ δέξομ'· ὡς ἐλευθέρας
Ὑμᾶς γνώσῃ· τ' δὲ Ῥώμηνδ' ἄξομαι,
Δεσμοῖς βαρυνθέντ'.

ΦΕΛΙΝΟΣ.

Εἰ δ' ἐπόπτευσε Δρυΐς —

ΑΥΛΟΣ

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Βίηφ' ἁλώσω· μυρίοι τ' ὀπάονες
Χαλκηλάταις ῥήξασιν ὕλην ἀξίνοις
Ἰρὰν, τά τ' ἄντρα διϊόντων φλογὶ
Ὅπως τύραννος ἐξεγείρηται λαθών.

ΗΛΙΔΟΤΡΟΣ.

Ὦ θεοὶ πατρῷοι, Μῶνα δῆ διώλετο.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Νὴ τὸν κρατίστον Ἡρακλῆ, ξυμπᾶσα δρῦς
Μεγάλη δι' ὕλην κεῖσετ' ἐξηραγμένη,
Εἰ μὴ, πρὶν ἐλθεῖν ἦμαρ, αὐτὸν ἁρπάγω.
Χωρεῖτ'· ἐγὼ δ' ἐς θῖνα προσπορεύσομαι,
Καὐτὸν θεμιστῶ· τόνδε γὰρ Καράκταχον
Πομπαῖον ἦμαρ παμμεγίστῳ Καίσαρος
Ἥκτσε, Ῥώμῃ θ', οἵ τε Ῥωμαίων θεοί.

ΗΛΙΔΟΤΡΟΣ, ΦΕΛΙΝΟΣ.

ΗΛΙΔΟΤΡΟΣ.

Ὑμεῖς δὲ, θεῖοι παντεπόπται δαίμονες,
Ἴμεῖς ἐάσετ'; ὧδε χεῖρ' ὀρέξετε,
Τὸν τ' ἄθλιον σώσετε; — Ὦ θεοπρόπι,

Καλεῖτε

Καλεῖτε βροντῆς ἀσραπηφόρον μένος,
Πατάσσετ' ὑβριστῆρας ἐκπύρῳ βέλει.
Ναὶ, δυσέλαυν Καράκταχε, Βρεταννέων
Πανύσαθ' ἥρως, ἅ σε λείψασιν θεοί.

ΦΕΛΙΝΟΣ.

Στυγεῖς, ἀδελφὲ, δῶρα;

ΗΛΙΔΟΤΡΟΣ.

Λαμβάνεις δὲ σύ;

ΦΕΛΙΝΟΣ.

Ἐλεύθεροι κυρεῖμεν.

ΗΛΙΔΟΤΡΟΣ.

Ἀλλ' ἀτάθαλοι.
Ὦ θεοὶ, Φέλινος πρᾶγμα τολμήσ κακόν;

ΦΕΛΙΝΟΣ.

Ἀναίνεθ' ὅτως Ἡλιδῶρος φίλτατον
Θεῶν χάρισμα;

ΗΛΙΔΟΤΡΟΣ.

Στυγνὸν, εἰ δεῖ τἀληθεμελεῖν.

ΦΕΛΙΝΟΣ.

Ἔρρ', ὦ μάταιε· μῦνος ὃν ἐργάζομαι.

ΗΛΙΔΟΤΡΟΣ.

ΗΛΙΔΟΤΡΟΣ.

Οὐκ ἔστιν· ἀνοσιουργίαν κατηγελῶ.

ΦΕΛΙΝΟΣ.

Καλῶς ἔλεξας· ἀστεῦσιν εἰς Φόνιον πτέος·
Πρέσβεις κέλευσον τ' παλαίπωρον κάσιν
Βασίνοις ἀνιᾶν μυρίοις· ἀπ' ἔλπιδον
Σωτηρίαν· κοινωνὸς ἧς τῷ δυστεβεῖ·
Διὰ τοῦτ' ἀράσεταί σε, τῶν τε θυμάτων
Ἱερὸς ἀπείρξει· μηδέ πω χεύσῃ φίλων
Ἀγάπης ὄπιθε, μηδ' ὁμιλίας βροτῶν.

ΗΛΙΔΟΤΡΟΣ.

Ἐλέαιρε, λίσσομ', ὦ φέλινε, δυστότμε·
Οὐδεὶς πότ' ἠγάπησε τ' ζιωφαίμονα,
Ὡς αὐτὸς ἠγάπησά σ'· ὠόμην θ' ὁμοῦ
Ἀρετῆς ἐρᾶσθ. Λῆγε, λῆγε πεάξεως·
Καὶ μήποθ' ἕτως τὸν ἄλγυνον κέαρ.

ΦΕΛΙΝΟΣ.

Δέασοινα μήτηρ ὐπέταξεν, ἐπιτελεῖν
Ἀρετὴ κέλευσεν· εὐσέβεια νεθετεῖ
Μωναῖον ἐκ μιάσματος σώζειν πέδον.

ΗΛΙΔΟΤΡΟΣ.

Ὦ δεινὸν, ὦδ' ἀκοῦσον, ὦδ' ἐπῳμόν·
Φύγωμεν ὀλιπάχις', ἀδελφ', εἰς ἔσχατα
Νήσου, φύγωμεν ὀρίμους μιάσορας.

ΦΕΛΙΝΟΣ.

Οὔπως· μηώμεν, Ἡλιδῶρε, τῇ τεχνῇ
Ἐναυλιώμεθ' ἀνοσίῳ βδελυγμίᾳ.
Εἰ δ' ἀκροᾷ σοφιστικῶς γεραιτέρου,
Φαίην, ὅ, τ' ἐξέδειξ' ἔμοιγ' ἐμπειρία,
Καὶ σημάνοιμ' ἂν ἡῦ καὶ χρηστὸν τόδε.

ΗΛΙΔΟΤΡΟΣ.

Ἀλλ' οὐκ ἀκούσω τῆς σοφιστείας κενῆς·
Οὐ χρηστόν ἐστιν αἰσχροκερδεῖς ἀνέρας
Ἴσον τε, καὶ δίκαιον ὕστως σκλιπεῖν.
Οὐ χρηστόν ἐσθ', ὑπερβίων ληστῶν δίκην,
Αὐτὸν διώκειν, ὅνπερ ἐξεσώσατο
Μάχης προσήλω μοῖρα· τίπτ', ὦ σύγγονε,
Τίπτ' ἂν ἐρευνᾷς ἔμφυτον λογίσμασιν
Ἀρετὴν σκελίζειν; πᾶσι γὰρ μεῖζον φάος
Ἀρετῆς προσῆκεν ἡμὶν ἐνδεῖξαι, κάπι —
Διέφθορ' ἄλλως Ἰτάλων ξυνουσία.

ΦΕΛΙΝΟΣ.

ΦΕΛΙΝΟΣ.

Ἀπιθὲ, μωρός——

ΗΛΙΔΟΤΡΟΣ.

Οὔ σε λείψω, δύσμορε,
Δεινοῖσι κινδύνοισι συγκυκλούμενον·
Εἰ μὲν πύθωνται ξ' δόλε θεοπρόποι,
Πῶς ἐξαποφθερῶσι τ' μιάσορα;
Εἰ δ' ὀξίμε πιτυγχάνης τολμήματος,
Πῶς ἐκπεράζει σ' ἡ συνείδησις κακή;
Ἔα — τί χρῆμα; φεῦγον, ὦ φεῦγον τάχα·
Δρυΐδες γὰρ ἄντρ' ἔλειψαν· αὐδῆς ἔκλυες
Φόρμιγγος; εἰσορᾷς τέ πως προσήλυθον
Γέροντες; ἄρτι καιρός ἐστι θυμάτων.
Κακῶς ἀπόλλυτ', εἴ τις ἀνόσιος πάρα.

ΦΕΛΙΝΟΣ.

Ἐγὼ μὲν ἐν Φάραγξι θυμιαμάτων
Μενῶ τελευτήν· καὶ σύ μ', ὥσπερ εὖ δοκεῖ
Ἢ προδίδοθ', ἢ πάρεσο.

ΗΛΙΔΟΤΡΟΣ.

Κωλύει, τάλαν,
Στοργὴ προδῶναί σ', Εὐσεβὲς δὲ συμπονεῖν.

ΧΟΡΟΣ.

ΠΕΡΙΚΟΜΜΑΤΑ.

ΣΤΡΟΦΗ.

ΗΜΙΧΟΡΟΣ.

Σίγα τε, χὔπνος ὧδε κρατεῦντι,
Σιωπᾷ αὖρα λεπτή.
Νῦν δὲ πέδον κυκλεῖτε
Τειχηδὰ τεταγμένοι.
Κἂν θέλῃ ἀτμὶς ἐν βαρείᾳ
Λαθεῖν πνεῦμα χαμαιγενὲς,
Ὄρφνᾳ καλυφθὲν,
Γυρώματί θ' ἱερῷ παρεῖναι,
Ἐπῳδαῖς ὁσίαις θοὼς ῥίπτοιτο
Ἐνερτέρων εἰς ἕδραν.
Ἰροδοτάνας κλαδίσκους
Φέρετε, δρόσῳ βαφέντας,
Κρυσταλλίναν θ' ὑγρότητα δι' αἰθέρος
Σκεδάζετ', ἠδ' ἐπὶ γαῖαν.
Ἁγισθέντος δὴ τόπου,
Λέξατε, μάντεις, εἰ παρεσκευάσασθε
Ταύρους ἀργήεντας,

Ἀδαμάσους

Ἀδαμάστῳ ζυγῷ ἀρείῳ·
Τῆνοι γὰρ, θυσίας εἰν ὥρᾳ,
Ἐσφάζονται τηλόθ' ὑπὸ δρυός.

ΣΤΣΤΗΜΑ.

ΗΜΙΧΟΡΟΣ.

Ταῦροι μέν εἰσιν, ὦ θεοπρόπ', ἁπλοῖ·
Ἠδ' ἐνθάδ', ὡς ἔοικε, μίμνουσι σφαγήν.

ΑΝΤΙΣΤΡΟΦΗ.

ΗΜΙΧΟΡΟΣ.

Πρῶτόν σ' ἐρωτῶ, ἐθλὲ Κάδμιλον,
Εἰ ἐμβέβηκας ἄντρον
Τετραραχθὰ πάχυ,
Μνημόσυνον πατρῶν;
Κιστίδα μυστικὰν δ' ἀνοίξας,
Βελίνου σάγον, εἵματά θ'
Ἅρπαν τ' ἔνεγκας;
Βρεννᾶϊέ, (σε δεύτερον προσαυδῶ)
Ἀφ' ἱρᾶς μαγικᾶς ἀδελφῆς οἴκου
Παλαιὸν εἵλες σκᾶπτρον,
Ὠά τ' ὄφεων ἀγητὰ,
Ξυναγέντ' ἀμολγῷ νυκτός;

Γοργωπὶ

Γοργωπὶ ὅπλαν δράκοντες, ἐν ἀγκύλοις
Κύκλοις μιγέντες, ἐν αἴθρῃ
Σφαῖραν θαυμαςὴν φέρσι;
Πρὶν δ' ἐπὶ γαῖαν καππεσεῖν, ξυλλαμβάνει
Ἱρῷ πέπλῳ μάντις·
Ἀφελὼν δ' ὠκύπαλα τρέχει·
Κραιπνῶς δ' εἰσαχθεῦντ' αὐτὸ
Ἕως ἂν ῥεῖθρον σῶς διενήξατο.

ΑΝΤΙΣΤΣΤΗΜΑ.

ΗΜΙΧΟΡΟΣ.

Πᾶν, ὥσπερ εἰκὸς, ὅτινι ἑρμηνεῦ θεῶν,
Πρόχειρόν ἐστ' ὅτ' ἀντες ἡτοιμασμένοι.

CARACTACUS APUD MONAM

ACTUS II.

ARGUMENTUM ACTUS SECUNDI.

FINITA luſtratione, CARACTACUS cum DRUIDIBUS colloquium habet, ubi regis ferox indicatur animus, et mens tantis laboribus invicta. De abſente filio acerbè judicat, quem EVELINA defendit. Dum vero CHORUS ſacram Spirituum invocationem exorditur, montis SNODONIS incolarum, ut illorum operâ mens regis manſueſcat, intervenit MINISTER quidam, juvenes BRIGANTEOS adducens. Sequitur CHORI indignatio, quia improbo adventu, horâ maximè ſolenni, loci ſanctitatem profanârant. VELINUS autem artificiosè narrat, quod CARACTACI auxilium contra OSTORIUM poſtulandi cauſâ advenerunt.

REX impatiens, qui hucuſque à conſpectu juvenum ſeipſum ſubduxerat, in medium ſe profert, non ſine magnâ CHORI increpatione. Mox autem, CARACTACO ad cavernam miſſo, unà cum filiâ et duobus adoleſcentibus, CHORUS hymnum cantat, dum DRUIDUM princeps obrutus jacet ſomno divinitùs immiſſo. Expergefactus autem ſenex, ſumma mala MONÆ auguratur, ob fœdos et horrendos viſus, quos, ſomno ſepultus, aſpexerat.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ.

Β'.

ΧΟΡΟΣ, ΚΑΡΑΚΤΑΚΟΣ, ΕΥΗΛΙΝΗ.

ΙΑΜΒΟΙ.

ΧΟΡΟΣ.

Ἅπαντα μὲν τὰ θύματ' ἐξὶν εὐσεβῆ
Ἕτοιμα· νῦν δ' ἀρ' ἐννέ' ἐκ νεωτέρων
Ἥλην μεγίσῃ ἐκπατεῖτε Φροντίδι,
Παρόδους σκοπεῦντες· μήποτ' ὄμμ' ἀνέντροπον
Τῆς πραγμαλείας μυστικὴν ἐπιβλέπῃ
Θύσιν· μενέθω δ' ἐγκεκρυμμένη, φίλοι,
Ὡσεὶ τελεῖτ' ἐν γῆς μυχοῖσι νερτέρας·
Δυσώνυμος γὰρ βέλεται Καράκταχος
Μανεῖος εἶναι τῆσδ' ἀφ' ἡμέρας Δρυΐς·
Ἄναξ γὰρ ὢν, ἕως οἷος ἦν Βρεττανίαν
Σώζειν ἀπ' Ἰτάλων ἀλαζόνων βιᾶς,
Θρόνων ἀπωθεὶς ἀγλαῶν, ταινῦν θέλει

Ἱροῖς

Ἱροῖς ἐν ἄντροις, ἐν μέσῳ Δρυΐδων Δρυΐς
Λάθρη βιῶναι, καὶ μάλ' ἡσυχῶς θανεῖν.
Ἀλλ' ἐνθάδ' ἀνὴρ ἔρχεθ'· ὡς σεβάσμιος
Λάμπει, μεγίστοις καὶν κυκλέμενος κακοῖς·
Ὡς τοῦργος ἀσπαπηφόρῳ βληθεὶς μένει,
Ἐν τοῖς ἑρειπίοισι, σεμνότητ' ἔχειν
Ἄγνωστον, ἕως ἦν ἀσφαλὴς, ὡσφαίνεται.
Χαίρειν ἄνακτα Σιλύρων κελεύομεν.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ὦ φίλτατοι, μὴ δῆς μελαίνεσθ δοκεῖ
Φύτευσις ἱρὴ τ̃ πελαιῶν δενδρέων;
Ὕλη, ὡς οἶκτον δυσμόρῳ τιτραμμένη,
Δύοχροιαν εἵλεν. Ὦ πολύκλαδοι δρύες,
Μέγα χαίρεθ'· ὑμεῖς τὰς πάλαι φυλάττετε
Ἕδρας· καταφρονεῖτε δεινῶ Καίσαρος·
Ἐλεύθερως ἐπαίρετ' εἰς τὸν ὐρανὸν
Ἰσχὺν καρηκομῶσαν, αἰπεινὸν κάρα,
Οὐ Κλαυδίῳ μὲν, ἀλλὰ τ̃ Φύσεως νόμοις.
Ῥίζαισιν ὑμεῖς ἐμπεπλεγμέναις πέτρῶν
Κρατεῖτε σεμνῶν, ὥνπερ ἐξεφύσατε.
Ὄζοισιν, ὡς θώραξι, τὸν δυσίμερον

Βορέαν ἀπείργεθ', ὅσις ἀρκτίᾳ πνοῇ
Φοβερῶς ἀπειλῶν, Ἰτάλων δίκην, βρέμει.
Οὐκ ἔστιν αὐταῖς ὀλβιωτέρα τύχη
Ἢ τῷδε δυσυχεστάτῳ Καρακτάκῳ;

ΧΟΡΟΣ.

Ἄριστον εἶναι τῶθ', ὅ, τ' ἤθελον θεοί.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἐγὼ δ' ἀπολλὺς τῶθ' ὅ, τ' ὤπασαν θεοὶ,
Αἰσχρῶς ἀπολλὺς, ἐκτενεστάτως, φίλοι,
Ποθοῦμι μεταμόρφωσιν· — οὐκ ἐγειναμην
Βασιλεύς; ὁ δαίμων δ', ὃς παλαιφάτους δρυὰς
Ἐκέλευσεν αἰγὴν ἡλίῳ κρύψαι σκιᾷ,
Πέδῳ τ' ἀπῶσαι θάλπος, ἐξελέξατο
Αὐτόν με, πάτερας, Σιλύρων τ' ἀμύντορα
Ἀζαθάλῳ πρὸς Καίσαρος ἀρχαῖς.
Ἥμαρτον· ὡς δ' ἥμαρτον, ὑμῖν γνώριμον,
Συκοφαντίας τ' ἐν ἄσμασ' ἱστορούμενον·
Διὰ τοῦτο τόνδε βίοτον ἐκλιπεῖν θέλω·
Στυγητόν ἐστι, πρέσβυ, ζῆν αἰσχρημόνως.

ΧΟΡΟΣ.

Ἰδοὺ πάναγνα θέσμι', οἷς ἱρεύμενος

Ἔσῃ

Ἔσῃ θεοῖσι· τίς δ' ἄνευθε δαιμόνων
Τῦτ' ἄν γε ῥέζοι; τῦνεκ' ἐκ τῦδ' αἵματος
Αὐτὸς θέλημ' Ὀλυμπίων μαθήσομαι.
Εἰ δ' εὐδοκῶσιν, εὐθὺς ἱρ' ἐθήματα
Χαίροντες ἀμφί σ', ὦ Κράτις, ἐνδύσομεν·
Ἔπειτα δ' ὑμνητῆρες ἄσματ' ἄμβροτα
Ὁμηγερεῖς μέλψουσιν. Ἀλλ', ὦ δεσπότα,
Γέωδες εἴ τι νηδύμοισι δέσμασι
Ψυχὴν ἀπ' ἔργων εὐσεβῶν ἀλλοτριοῖ,
Φράσον· τὰ πάντ' ἐτητύμως λέγειν σε χρή.

ΚΑΡΑΚΤΑΚΟΣ.

Εἶχον δάμαρτα — φιλτάτη γυιδηρία,
Ἐπὶ σοίγ', ὅτ' ἐκ ἔδωκαν ὕνεκ' ἁρπαγῆς
Ποινὴν ἐπαχθεῖς Ἰταλοι, τλήμων πόσις
Κλαίων κάθ' ἡμέραν τε, νυκτί τ' ἄχρυπνον,
Αἰὲν στενάζει. Ναὶ, τάλαιν' Εὐηλίνη,
Ἀπ' ἀσθενοῦς ἀπελθὲ, καὶ καταφρόνει·
Οὐ γάρ ἐσαίωσε τὸν ἄπτμον μητέρα.

ΕΥΗΛΙΝΗ.

Καὶ μὴν γλύκιστον, ὦ φίλον πατρὸς κάρα,
Οὕτως ἐφ' ἡδὺν ἐμπεσεῖν βραχίονα·

Σύ τ', ὦ Καράκταξ, εἰσφέρεις ἰσχὺν τέχνῃ,
Καὶ τῇ νοσούσῃ καρδίᾳ θελκτήριον,
Κόλπῳ πατρῴῳ προσλαβὼν λυπουμένην.
Εἶθ', ὡς ἀπ' ἀγλαᾶς πατρὸς προσόψεως
Εὐφραίνομ', αὐτὸς ἐξ ἐμοῦ χαρὰν λάβοι.

ΚΑΡΑΚΤΑΚΟΣ.

Οὐ τοῦτο μικρὸν χάρμα, φίλτατον τέκος,
Ἐν πᾶσιν ὡς εἰκυῖα τῇ Γυιδηρίᾳ,
Αἰσχρῶς, ἐμοῦ παρόντος, αἰχμαλωτίδι.
Ἔγωγ' ἀπὸ σκηνωμάτων ἡρπαγμένην
Ἔβλεψα τλήμων, Ἰτάλοις κυκλούμενος·
Τίς δ', ἔτ' ὢν πάρεγγυς, ὦ γῆ καὶ θεοί,
Ἰδών τε τετριχυῖαν ἐν μέσῳ κακῶν,
Ἔφυξε μικρόψυχος.

ΕΤΗΛΙΝΗ.

Ὦ πάτερ, πάτερ,
Ἀπῆλθεν εἰς τὸ συγκαλεῖν Βρεττεννέας,
Ἐχθρὰς διῶξαι, καὶ σαῶσαι μητέρα.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἀλλ' ἐξέφευξε. — Νὴ σεληναίας φάος,

Ἧτε

Ἧτις σκότοις ἔκρυψεν ἀγλαὸν κάρα,
Μίασμ' ἰδοῦσα, μητροφόντης ἣν φυγών.

ΕΤΗΑΙΝΗ.

Ἧκις· ἀληθῶς κατέπεσες, τλῆμον κάσι,
Λύσας τὰ γῶια μυρίων ἐναντίων,
Σταγῆ δαμασθείς· ἀδέ σοι παρίσατο
Ὁμαιμος, ἥτις, δεικνυόντων ἀστέρων,
Εὗρε τὸ σῶμα, δάκρυσίν τ' ἀδελφικοῖς
Γενναῖα νίψας τραύματ', εἶτα βοσρύχοις
Ψυχρόν τ' ὀμόρξει' αἷμα, καὐτὰ δάκρυα.

ΧΟΡΟΣ.

Σιγᾶτ', ἄνακτες· ἀδὲ γὰρ λαλεῖν θέον·
Εἴτ' αἰχμάλωτός ἐσιν, εἴτ' ἐσφαγμένος,
Εἴτ' ἐξέφευξε δαιμόνων θελήματι,
Ὀρθῶς τἐπραται πάντα. Τῷδε γὰ τόπῳ
Ὄνειδος αἰσχρὸν τῶν Ὀλυμπίων κάτα
Οὐκ ἔσιν εἰπεῖν, δεινά πᾳ πονεμένῳ·
Ἡ Καρτέρησις ἐνθάδ', εἰς ἡρωϊκὸν
Στῆθος χέρας τιθεῖσα, χειμέριον μένος
Ἀνέμων βαρυπνέοντος ἰφθίμως φέρει,
Καὶ τῆς θυέλλας προσκυνεῖ σιγῇ Θεόν.

ΕΤΗΛΙΝΗ.

ΕΤΗΛΙΝΗ.

Θεοπρόπ', εἰ μίμνε πάμα ῥήματα
Ἕδραν θεαίνας, ἀγνοῦσ' ἁμαρτάνω·
Μᾶλλον δὲ σιγᾶν εἰς τέλος βιότᾳ θέλω,
Ἢ τἄπος εἰπεῖν, ἤ τι ποιῆσαι κακὸν,
Ἀνάξιον σῶν θυγατέρων· πρὶν δ' εἰς ἀεὶ
Σιγᾶν, λῴσην εὐλογήσομ' ἡμέραν,
Αἰνοῦσα βλὴν, ἥτις ἡσυχίαν φέρει.

ΧΟΡΟΣ.

Καλῶς ἔλεξας· καὶ τὸ βέλτιστον φρονεῖς,
Ἥτις, νεᾶνις οὖσα, καρτερῶς ἔτλης
Δεινὸν παραγμὸν, ἠδ' ὑποπλῶσιν φέρειν
Ἀρχῆς τ' ἀγευῆς, καὶ καλῆς τυραννίδος.
Σὺ δ', ὦ Καράκταξ'——

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἐκ μιάστορος θέλω
Ἄλοχον σαῶσαι· τῶνδέ τ' ἀλκίμῳ δορὶ
Παῖσαι τὸν ὑβριστῆρ', ὅπως, γύπων ἕλωρ,
Τιμωρίαν βδελυγμίας δεινὴν λάβῃ.
Ὑμεῖς ἐν ὅλβῳ, ἡσυχῶς, θεοπρόποι,
Γηράσκετ'· εἰ δὲ κέντρον, ὦ δυσάμεροι

Ἀναξ

Ἄναξ καχεῖται, τήν τε σεμνὴν ἔκστασιν
Ἐνθουσιασμόν τ' ἀνέρος στρατηγέτου
Ἐνόησατ', οἰκτείροιτ' ἂν ἀθλιώτατον,
Ὃν, ἐξολωλότ' ὀρθρίμου μοίρας ἄπο
Λέλοιπεν ἐλπὶς· οὔποτ', ἔποθ' ὕστερον
Ῥωμαῖον ἐν μάχαισιν ἑτάσω ξίφει·
Δάμαρτ' ἀφ' ὑβριστῆρος ἃ σιώσομαι,
Οὐ γῆν πατρῴαν. Λέξετ', "Ἤθελον θεοί."
Γνωσὸν, γεραιοί· ψῆφισαν δεινοὶ θεοὶ,
Μὲ μηκέτ' εἰσιδεῖν ἐμὴν Γυισηρίαν,
Ἥβη τε, γήρᾳ τ', αἰὲν ἠσκημένην·
Ἀπώλεσ', ὅτε μάλιστα σώζειν ὤφελον
Μείλιγμ' ἀνίας, καὶ πόνων θελκτήριον·
Ὀλοιτο πικρὸν ἦμαρ, ᾧ Φυγον κακῶς
Δειλαὶ φάλαγγες, καί μ' ἐτόλμησαν λιπεῖν
Ἀναχθ', ὃς Ἰτάλων ὀπαδῶν κάτα
Ἡγησάμην πρὸς κῦδος ἐννάετες στρατῷ.
Αἰσχρῶς ἔφευγον πάντες — Ὦ Δρυΐ, Δρυΐ,
Μανίη φορεῦμαι — ποῖον ἐξηύδων λόγον;
Σιγῶ· περαίνεθ', ὡς ἔοικε, θέσμια.

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Θεοὶ, ϗ γὰρ ὑμῶν χερσὶ θαρσαλέαι φρένες
Ἀνδρῶν πίθεν), τῷδε τῷ Καρακτάκῳ
Ὀσιώτερόν τε θυμὸν, εὐσεβεστέραν τ'
Ἔμπροσθεν ὑμῶν καρδίαν ἐμπνεύσατε·
Οὐ γὰρ σκυθρωπὸν ἄνδρα, ϗ θυμούμενον,
Οὐχ, ὁντίν' ἀρχῆς ἠπάτησαν ἡδοναὶ,
Ἀνδρῶν τε τιμαὶ, Δρυΐσι συγγράψαι δέον,
Πάρος νὶν ὠθεῖν, καὶ ξαπεστεῖλαι σαφῶς
Πόθον φόνου τε, ϗ φιλαιμάτου σφαγῆς.
Σὺ δ', ἀθλιώτατ' ἀνέρων, δεινὴν ἔριν
Ἣδ' αἵματος κυδοιμὸν αὐθάδης φιλεῖς,
Καὶ νῆκος· τί δῆτα ῥέζομεν πλέον;
Πειρώμεθ' ἰσχὺν εὐσεβῶν δεημάτων,
Ἥτις πάρεστι μυστικοῖσι θεσμίοις,
Ὅτε θυμὸς ἐρανόνδε χαίρων ἵπταται,
Ὀχούμενος καλοῖσιν Ἁρμονίας πτεροῖς,
Αὐγήν τ' ἀπρόσιτον, ὡς κορύβαλις ἡμέραν,
Ἀστάζετ' ἄδων. Μέλπετ' ἔν, ὑμνηπόλοι,
Ἥδισα· μέλπεθ' ἵμερον, ϗ δύσκολον
Ἄνακτος ἦτορ πλήθετ' εἰρήνης πόθῳ.

Καὶ

Καὶ φῦλα μακάρων, πνεύματ' ὀλβιώτατα,
Οἰκήτορας Σνωδῶνος, ὧδε δεῖ καλεῖν.
Οἱ γὰρ βροτοῖσι συμμεμίχθαι πάποτε
Οὐκ ἀξιοῦσιν, ἀλλ' ἄγαν κεκρυμμένοι
Ὄρυς ἐπ' ἄκρα δώματ' ἐν χρυσαλλίνοις,
Πάρεισι δαίμοσ' ἀμβρότοισι, κτωμένοις
Κάλλιστον ἀγλὸν αἰθέρ', ὑψηνῷ πάρα.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ.

Καλεῖ σε Μῶνα, Σνώδων·
Ἄκουσον, ἄναξ ὀρέων, ἄκουσον.
Σὲ γὰρ ἱεραὶ φωνοῦσι χορδαὶ,
Λέλακε ποικιλόμορφος Ἀχώ·
Ἄναξ ὀρέων, ἄκουε φωνᾶς·
Αὐτίκα πνεύματα πέμπε, πέμπε,
Νῦν, ὅτε μυχίοι μαργαρῖται
Λάμπουσι σελάνας ἐν φάει
Ἐπὶ κορυφᾶς νιφετώδεος·
Ἁγίης θ' ἱερῆας αἰδῶ,
Τῶν τ' ἐπῳδῶν δύναμιν.
Ὥρα νῦν μαγικὰ, Σνώδων,

Νῦν πλεῖσα δύνανται γοητεῖαι·
Δύνανταί σε τ' ἄρθρα χίσδειν,
Ῥίζαν καπαιρέφειν τε βροντῇ·
Ὅμως δὲ ταῖς μαλακόφροσιν ᾠδαῖς
Μῶνα χρήσεθ', ἃς δίδαξαν
Πάτρες λυρῳδοὶ,
Σοφίας ἐριλαμπέος ἡγεμονῆες.

ΑΝΤΙΣΤΡΟΦΗ.

Ἄκουεν αὐδῆς Σνώδων·
Καὶ αὐτίκα δένδρεσ' ἐν εὐθαλέοις
Κιθαρῳδοὶ ἀντήυδησαν ἄλλοι,
Καὶ ἄλλη ἀμπεπτᾶτο φωνά·
Ἀσώματα δεῦρ' ἵκανε φῦλα,
Ὧν ψιθύρισμα δι' αἰθέρ' ἔπλα,
Ὧν πλερὰ πανλαχῇ λεπὰ τρίζει·
Νῦν δ' αὖ παραβαίνουσιν πέδον,
Διὰ κνέφεος, διά τε σκιᾶς,
Διά τ' ἰζοφόρων καρήνων
Ἱερῶν τῶνδε δρυῶν.
Ἴσαθ', ὦ μάκαρες λαοὶ,
Καὶ μηκέτι πλανᾶσθε, πανδερκεῖς·

Κύκλῳ

Κύκλῳ πάντες συγγίγεσθε,
Ἐδῆτας ἀγλαὰς τιθέντες·
Ἀκέσθ', ὡς ϑεοδινέος ὀμφᾶς
Μάδωρ ἔγκυος μελίσδῃ·
Σιγᾶτε πάντες,
Ὅτι νῦν μελιαδέα βάρβιτον ἅρῃ.

ΧΟΡΟΣ, ΘΕΡΑΠΩΝ, ΗΛΙΔΟΥΡΟΣ, ΦΕΛΙΝΟΣ, ΚΑΡΑΚΤΑΚΟΣ.

ΙΑΜΒΟΙ.

ΧΟΡΟΣ.

Οὐ χρὴ μελίζειν, Μᾶδορ· ἐχ ὁρᾷς καπνῷ
Βωμὸν κυκλοῦσθαι; τῶ πονηρῶν ἔκλυον
Ἴχνη πονηρά· Φευγέτω Καράκτακος·
Ἀπαίρετ' ὦκα παϑημιάματα.

ΘΕΡΑΠΩΝ.

Εἰς ἀντολὴν, γεραιὲ, χρηγορέμενοι,
Εὑρήκαμεν Φάραγξιν ἀλλοτρίῳ τινε,
Λόγῳς διδόντε· τῶ Βριγαληέως γένῃς
Δοκοῦσιν εἶναι.

ΧΟΡΟΣ.

Προσάγετ' εἰς ἡμᾶς τάχα.

ΗΛΙΔΟΥΡΟΣ.

Οἴκτειρ', ἀγαυὲ πρέσβυ, τὼ Βρεττανέω,
Τῆς γῆς συνοίκω.

ΧΟΡΟΣ.

Μή με γυνάζε, τάλαν·
Οὐ δυατεβὴς Ῥωμαῖος ὧδε προσμολεῖν
Θαρρῶιτ' ἂν, ἑσίαν θεῶν αἰδόμενος·
Ποιαῖσιν ὑμᾶς πημοναῖσι τίσομαι;
Ὦ δαίμονες κεραύνιοι —

ΗΛΙΔΟΥΡΟΣ.

Μὴ πρὸς θεῶν
Ἀρᾶ, γεραιέ· θυμὸν εἰς ἔλεον τρέπε.

ΧΟΡΟΣ.

Οὐκ ἔστιν ὥρα τοῖς θεοῖς κατ' ἐξοχὴν
Ἱρωμένη; νῦν εὐφανῆ πρὸς ἠρανὸν
Ἀνέβησε πλήρης ποτνίας μήνης κύκλος,
Καὶ τοῖς κάτω βροτοῖσι σῖγα δεικνύει,
Πράξας ἔσεσθ νῦν μάλιστα δαίμονας,

Λιτῶν

Λιτῶν τ' ἀκύσειν ἠπίως; ἢ τὸ βρέφος
Τῦτ' εὖ μάλ' οἶδεν· εἰ γὰ ἐστερημένον
Ὕπνυ πέφυκε, τὰς ἀναιτίυς χέρας
Ἔπαιρον, αὐτό τ' εὐλογεῖν αἰτεῖ θεὺς,
Αὐτῦ τε κοιτωνίσκον. Ὑμεῖς δ' ἔν, ξένοι,
Ἄνδρες μὲν, ὡς ἔοικεν, ἀνόσιον πόδα
Μωναῖον εἰς γύρωμα τολμᾶτ' εἰσφέρειν;
Τῦτ' ἂν τὸ θάρσος αἰὲν ἦν ἀτάθαλον,
Ἀλλ' ἔστι νῦν ὑπερτάτη βδελυγμία.

ΦΕΛΙΝΟΣ.

Εἰ Μῶνα δ' ἐπεῴτευεν εἰκοσάκις πλέον,
Ἡμῖν ὁμῶς, γεραιὲ, συγγνώμην πρέπει
Δῦναι, καλὴ γὰρ αἰτία προσήγαγεν.

ΗΛΙΔΟΤΡΟΣ.

Ἔπεμψαν ἡμᾶς, ὦ θεῶν ὑπηρέτα,
Καὶ τὸ προσῆκον, τ' ἀνάσσης ἐντολαί —

ΦΕΛΙΝΟΣ.

Γεραίτερόν με δεῖ λέγειν, ὁμοπόρε,
Τὴν ἀγλαὰν πρέσβευσιν, ἣν κομίζομεν.

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Λαμπρὸν μέν ἐσι, ξεῖνε, τὸ προοίμιον·
Τὸ δ' ἐ λόγοισι πρᾶγμ' ἀτάθαλον κενοῖς
Πειράσομ', ἀλλ' ἔργοισιν ἐ ψευδηρίοις.

ΦΕΛΙΝΟΣ.

Εἰ γᾶν πονηρὸν ἐσιν ἄλκαρ εἰσφέρειν
Ἀνδρῶν ἀρίσῳ, πρᾶγμά τ' ἐπιτελεῖν, Δρυΐ,
Ὁ νῦν, θεῦ θέλοντος, ἑσίαν πατρῶν
Ὑπερβίων ἀπ' Ἰτάλων σεσώσε),
Κολάζεθ' ἡμᾶς — ἔσμεν ἐκ ἀναίτιοι·
Τῶδ' ἕνεκ', ὦ γεραιὲ, δεῦρ' ἱκνέμεθα.

ΧΟΡΟΣ.

Ἅπαντα λέξον σεσωτόμως, Ϛ θαρσέως.

ΦΕΛΙΝΟΣ.

Ἔνεσι χώρᾳ τῇδ' ἄναξ Καράκταχος.

ΧΟΡΟΣ.

Τί, ξεῖν', ἔλεξας; εἰ δ' ἀληθινὸν λέγεις,
Οὔ μιν νομίζεις ὧδέ γ' ἀσφαλέσερον
Γίγνεθ' ἂν, ἢ νικηφόρᾳ μέσῳ σρατῷ;
Θεοὶ φέροιεν ἐνθάδ' οἱ σωτηρίαν

Αὐτῶν

Αὐτῶν ὁμήρῳ· κἀγὼ δ' ἔνθ' ἱεραὶ τρίχες
Πολίτ κατήνυε τῷδέ γ' ἐν γυρώματι
Ὡς ἄργυρος γένοιντ' ἀκίνδυνοι, ξένε,
Ὃς ἐκ ἐώρακ' ἠλίτ λαμπρὸν φάος.
Φράσον δὲ νῦν τλήμηρὸς, εἰ δύνῃ, χρόνον,
Ὅπεν ξένον τελοσίθλιον περιδώκαμεν,
Ὅστις πέφευγεν εἰς κεκρυμμένας δρυμάς.

ΦΕΛΙΝΟΣ.

Εὔφημα φώνει· μήδ' ἐμὴν ἀπατρέφῃ
Πρέσβευσιν, ἱερὲ μάντι· μῶν δύναται βία
Γυμνοῖς παρεῖναι χερσίν; ἦτορ ἔν νέων
Αἰὲν πανουργίαν ἐπίκλοπον τρέφει;
Τὸ πρᾶγμ' ἀκούσας, αὐτίκ' εὐνοϊκῶς ἔχε.
Νῦν γὰρ τὰ πάντ' ἐτητύμως ἀναγγελῶ,
Ἅπαντ' ἐμοῦ τε καὶ πατρόντος ὃν διζήμεθα.
Βριγαντέων ἄναστα Καρτισμανδύα,
Χώραισιν ἥτις δεξιτερὰς νήσου κρατεῖ,
Ἔπεμψεν ἡμᾶς· πᾶν δὲ Ῥωμαῖον γένος
Ὁσωρίου, τρεῖς μῆνας ἐξαπώσιμεν·
Νῦν δ' ὥστε γῦπες, ὁ μὲν ἄγραν σκοπεῖν
Θέλοντες, ἁρπαγεῖν δ' ἄγαν φοβούμενοι,

Πέτονται

Πέπυντ' ἐν αὔθρῃ δυσμενῶς κεκραγότες,
Οὕτως ἀπειλεῖ κῆρα τ' ἐχθρῶν στρατός.
Διὰ τᾶτ' ἄναστα, ταὐταθὶ σκοπῶσ' ἀεὶ
Αὐτή τε, κἠ τῇ πατρίδ', ἐξεπέμψατο
Τὼ παῖδ', ἐπιζητοῦντε τ' Καράκτακον·
Αὐτῶ στρατηγήσαντος, ὄφρ' ἐλεύθεροι
Ἡμεῖς γνώμεθ', ἠδὲ τὴν Βρεττανίαν
Συλᾶν δυνήσητ' ἐχθρὸν Ἰτάλων μένος.

ΚΑΡΑΚΤΑΚΟΣ.

Εὕρηκας, ὦ παῖ· χαρμονῇ παρίσαμεν·
Εὕρηκας, ὦ παῖ· θεὺς δὲ μάρτυρας καλῶ,
Τὸ λοιπὸν αἷμα τᾶ γεραιᾶ σώματος
Ἰμῖν τ' δρήξων, καὶ γλυκείᾳ πατρίδι,
Σπείσω πρόθυμος.

ΧΟΡΟΣ.

Τῆς κακῆς ἀβελίας.

ΦΕΛΙΝΟΣ.

Ἀλλ' ἔστιν ὠνὴρ ἐνθάδ', ὃς Ῥωμαϊκὸν
Μένος κραταιῶς ἐννάετες ἀπώσατο,
Ἰδὲ, ξύναιμε, τὸ πρόσωπον εὐμενὲς,

Καλαῖσιν

Καλαῖσιν ὠτειλαῖσι σημειώμενον
Καὶ προσπεσὼν ἠρῷϊ, γηναίᾳ χερὶ
Σφράγισμ' ὄρεξον· τοῦτο γὰρ κεκτήριον
Τῆς πίστεως ἔπεμψε Καρτισμανδύα·
Ἔξεις δ' ὄπισθε δῶρα πιστότερα·
Ἄναστα γὰρ τῶν Σιλύρων ——

ΚΑΡΑΚΤΑΚΟΣ.

Γυιδηρία ——

ΦΕΛΙΝΟΣ.

Ἡμῶν ἐν αὐλαῖς ἀσφαλεστάτη μένει.

ΚΑΡΑΚΤΑΚΟΣ.

Πῶς ἐξεσώσατ'; ὦ φιλάνθρωποι θεοί,
Σφράγισμ' ἀληθές ἐς· ἀληθινῶς ἐγὼν
Εὐδαιμονέστατος γεγέννημαι βροτῶν.

ΦΕΛΙΝΟΣ.

Ἐγὼ μὲν, ὦ ναὸς Σιλύρων, ἐβλώμην
Ἐχθροὺς ἀπῶσαι τ' ἐμῶν τειχισμάτων.
Πάντες δ' ἐφορμήθημεν· ἐν τῇδ' ἡμέρᾳ
Μοὶ συμβέβηκε, χρωμένῳ καλῇ τύχῃ,
Σώζειν ἄναστα ἐξ ὑβριζόντων βιᾶς.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἐναγκαλίζομαί σε, φίλτατον βροτῶν,
Καλῶ τε τέκνον· ἦν ἐμοὶ τέκνον, ξένε,
Ἄριζον, ὥσπερ ᾠόμην· ἐλεύθερον
Εἶχεν πρόσωπον· ὡς ἔδει θ' ἥρῳ ἔχειν
Γενναῖον ὄμμα, κἠ φρέν' ἃ πάρος κακὴν.
Ὡς δ' ἠπίστα τεκόντος ἐλπίδας φίλας,
Μαλακὸς, φυγάς τε, τοῦτο δάκρυ μαρτυρεῖ,
Ἀκαιρον ἐν τοιᾶδε χαρμονῇ δάκρυ.
Εἰ δ' ἔτος, ὦ ξεῖν', ἃ κατήχυνεν γένος,
Νῦν ἂν γενοίμην ὀλβιώτερος θεῶν.
Ἀμνήμονῶ δ' ἐκ τοῦδε — βάσκ', Εὐηλίνη,
Τάχιστε πρὸς πατήλαιον· εἶσφερ' ἀσπίδα,
Μάχαιραν ἀμφ' ὤμοισι δαιδαλέαν βάλε,
Ἔγχος τε, τόξον τ'—

ΧΟΡΟΣ.

Ὦ τάλαν Καράκταξε,
Τί γᾶν ἔδρασας; κἠ τί πιῆσαι θέλεις;

ΚΑΡΑΚΤΑΚΟΣ.

Πάτραν σιῶσαι.

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Σαυτὸν ἐξαπολλύειν.
Ὁ νῦν ἔοργας· τἄλλα δ' οὐκ ἔξεστί σοι
Ποιεῖν ἄνοιθε δαιμόνων· ἃ δ' ἀ μέλει
Ἐνθουσιώσῃ καρδία· μῶν θύμασι
Καλοῖς ἐχρήσω; μῶν ἐχρέμισαν εὐτυχῶς
Λυθέντες ἵπποι, μανίαχης δαήμονες;
Οὐ τῆς θεαίνας βωμὸς ἐνεκαλύπτετο
Καπνῷ, παρόντων τῶνδε τῶν νεανιῶν;
Οὐκ ἐτρόμησεν δένδρα; πᾶν πεκμήριον
Ἐδίδαξε κρυπταδίως ἐπαυπεύσειν δόλῳ.
Ἕως δ' οὐκ ἔπαυσε τῶν λόγων γεραίτερος,
Πρίν μ', ὥσπερ εἰκὸς, προσκαλεῖν εἰς ὄρκια,
Ἐξέπασιν ἐσθλῆς πίστεως, προέδραμες,
Δρυΐδων θεσθεῖς ὧκα παραβαίνων νόμους.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τοίαδ' ἐν ὥρᾳ, πρέσβυ, μήποτ' ὠόμην
Ὄνειδος εὑρεῖν καὶ τιμήσεις πικράς.
Ἄλυσὶ ἐς' οἰωνὸς ἔνθυμον κέαρ·
Τὸ γὰρ παρὼν δεῖ πάντας ἐγγαλέσθ' φόβῳ,
Αἰώνιον πρὸς κῦδος ἐμφανῶς μ' ἄγᾳ,

Ὅπου γε ΝΙΚΗ, τῶν θεῶν ὑπερτάτη,
Ἐφιζάνουσα τοῖς θρόνοις ἰάσπιδος,
Καλοῦσί μ' υἱὸν, δαφνίδος στεφανοῖ κλαδί.
Ὅταν δὲ κῦδος ἐκμαρανθῇ Καίσαρος,
Λίην χλοάσετ'——

ΧΟΡΟΣ.

Ἔρρε, κενόφωνος γέρων.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ὅμως δὲ πείθομ'—

ΧΟΡΟΣ.

Οὔ σε χρὴ πιθέσθ' ἐμοί;
Σὺ μὲν μονάρχης, ἀθενῶν βροτῶν ἄναξ·
Ἀλλ' ἐς ἐμοιγ' ὑπηρέτημα δαιμόνων,
Ὑπηρέτημα βέλτερον μοναρχίας.
Δρυΐδες δύνανται καί σε κωλύειν τὸ δρᾶν,
Ἐὰν θέλωσιν· εἰ δ' ἐκώλυον, μάτην
Τολμᾷς, Καράκταχ'——

ΚΑΡΑΚΤΑΚΟΣ.

Εὐλογήσῃ, φίλτατε,
Τοίονδε πρᾶγος· εὐλογήσονται θεοί·

Εὖ γὰρ τόδ' οἶδας, εἴ γε πάτρας ἕνεκα
Μαχούμεθ', ἕνεκ' ἀρανῆ μαχούμεθα.
Ὅσις δ' ἀνὴρ ἀπέθανε, τρισμακαρ κλύει·
Σφάγιον δίδωσι σῶμα τ' θεῶν ὕπερ,
Αὐτοῖς τε, βωμοῖς τ' ἐπιφέρων σωτηρίαν.

ΧΟΡΟΣ.

Τῆς ἀξίας τιμῶμεν, εὐγενὴς ἄναξ,
Σωτηρίαν τε πατρίδος, σωτηρίαν τ'
Ἀμύντορος τῆς πατρίδος Καρακτάκυ.
Σαφῶς γὰρ ἴδμεν, οἷον ἀγλαὸν γέρας
Πάναγνα θείων ὠνδιμαθ' ἡρώων μένει,
Ἐλευθέρως μαχσμένων. Ἄκυ', ἄναξ,
Γενήσετ' ἦμαρ ὕστερον, δυσηλεγὴς
Ὅταν τε Θάνατος, Μοῖρά τ', ἐγχαλέη θεὰ,
Ἐφιζάνοντες ἅρμασιν πυρώδεσι,
Χαλκηλάτοις ἅρπαισιν ἐξωπλισμένοις,
Φθίσυσι κόσμον· ὄβριμος δὲ συλλεγεῖ
Τὰ λοιπὰ Λήθη κλάσματ'· ἐν δὲ τῇ φλογὶ
Θρόνοι πεσοῦνται, ἠ τυραννίδων κλέος·
Τότ' εὐθέως σώσετ' Ἀνδράση θεὰ
Λαμπρὸν κατάλογον ἀνέρων ἡρωϊκῶν·

Παναιόλοις

Παναιόλοις δ' ἔπειτ' ἀγκυλέγη πτεροῖς,
Παῖν ἰρὸν ὄνομ' ἐγχράψεται στελαφόροις
Ἄγροισιν, ἀμφὶ δωμάτων αἰωνίων.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τοίνυν δὲ μύθους ἅσσι προσεκτικοῖς
Αἰὲν δεχοίμην, ἕως ἀφωνία, πάτρες,
Ἡδ' ἔκστασις γλυκεῖα νῶν ἀπαίροφῇ.

ΧΟΡΟΣ.

Καίπερ τὸ' ἴδμεν, ἀλλ' ἄγαν φυλακτέον,
Μήπως ἐκυσίως ἐφορμηθῇ βροτὸς,
Φόνῳ τ' ἐπιπροθῶν, ᾗ δυσεστήτῳ μάχης.
Θάρσος γὰρ, ἐντόλμημά τ', ὦ Καράκτακε,
Οὐ πάγχυ τυγχάνουσι δώρων ἀφθίτων,
Εἰ μὴ, θεοῖς ὑπήκοος, δικήσεως
Γυμνοῖς μάχαιραν.

ΚΑΡΑΚΤΑΚΟΣ.

Δύνατόν ἐσθ' ὁμῶς, γέρον,
Χρῆσθαί τε καιρῷ, καὶ πιθέσθαι δαίμοσιν.

ΧΟΡΟΣ.

Ἔχεις, τυχόν γε, καιρὸν, ὥσπερ ἤθελες·

Ἀλλ'

Ἀλλ' εἰ τόδ' ἐστι, σπεύδετῶν οἱ θεοί·
Αὐτῶν θέλημά σοι μὲν ἄγνωστον τυχεῖν,
Ἐγὼ δὲ γνώσομ' αὐτίκ'. — Ὦ βροτοὶ, βροτοὶ,
Ὕλην πάχισε λείπετ' Ἀνδράσιν θεὰς
Οὐδ' ὄμμασ' ἀνοσίοισιν, ἀδ' ἀναγροφῇ
Μιαίνετ' ἔργον. Μίμνετ', ὦ θεοπρόποι,
Καὶ μίμνεθ' ὑμνητῆρες, ὧν πόλιον κάρα
Λευκαίνετ' ὀγδώκοντα νιφάδι χειμάτων·
Κάδαλλον ἓν μέγιστε, Καντᾶρη θ' ὁμῦ,
Σύ τ' αὖ, Λεῶλι, καὶ σὺ, Φίλτα θ' Ὦλε,
Ὕπνῳ πάρεστε τρόφρονες θελάτῳ.
Ὑμεῖς πλυτρόπις κάτισε δακτύλοις
Τερπνὸν μέλισμα, θεῖαν Ἁρμονίαν, ἄγειν·
Ἐθ' ὅτε σπεύδεργετ', ἐθ' ὅτ' ὠκύποδι δρόμῳ
Ἀχάλινον ἅσμ' ἑᾶτε τ' χορδῶν ἔπι
Σκιρτᾶν ἐλευθέρως· ἵν' ἀκροωμένων
Εὐφωνία δύσφωνος ὥστε θαύμαλε
Πλήττειν δυνήσητ'. Ἀλλά σοι, Μᾶδορ, μόνῳ,
Ἡδεῖαν ᾠδὴν σοι μελήσῃ τροσφέρειν·
(Σιγᾶτε δ' ἄλλοι.) Γνωσὸν, ὦ χορηγέ, σοι
Ψυχῆς ἄκεσμα φίλτατον λυπεμένης·

Θυμῦ

Θυμὸ γὰρ εἶ πυλωρὸς αὐτίκ', αὐτίκα
Θύρας τ' ἄνοιξον χρυσέας, ὦ μείλιχος
Ψυχὴν ταλαινώσειν εἴσιμι, σκοπιμένην
Τίς ἐστι Μώνης μοῖρα, τίς Βρεταννίας.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

ΗΜΙΧΟΡΟΣ.

Τὰν κίθαριν Δαρδανίαν
Ἂν πότε παλαιγενὴς ὁ Κάμβρος
Τροίαν λιπὼν φλεγεῖσαν,
Ὁδαγήσαντος Βρύτω,
Τῦτ' εἰς τὸ δὸν εἰσφέρε,
Χαίρειν, χαίρειν κελεύομες.
Ἐπὶ νῆος ἠὐπρῴρω
Μέλψεν ἱμερόεν λυρῳδός.
Ἦκεν λαοκώλενος Βρεταννία,
Γηθοσύνα δ' ἐδέξατο
Ἐὸν τρὸς κόλπον ὑμνητῆρας.

ΣΤΡΟΦΗ Β'.

Ἄλαλος ἦν τὸ πρίν γε χώρα,

Ὄμβρανὸς

Ὀμβρανὸς μόνον ἐβόασε χείμαῤῥος,
Ἀπ' ὀρέων πέδονδε πίπτων·
Βαθυσκίᾳ δ' ἀΦ' ὕλας
Ἴαχεν Φιλάηχαυλος Ἀχώ·
Ὁ δὲ κρυερὸς βορέας
Βρέμε πνέων ἐν Φάραγξι
Κραυγὰν δύσΦωνον· καὶ ὦκα
Ἐρημόθεν ἀντιχευμένην,
Ὅπᾳ καρχαρόδους λύκος ὑλακτεῖ,
Φόνον ἀγέλαις ἀπειλῶν.

ΣΤΡΟΦΗ Γ'.

Εἶπας, ὦ λιγεῖα κίθαρις,
Σίγασεν δεινὸν κώκυμα·
Γλυκυπάτα πρὸ τ', ἀμΦί τ', αὐδᾷ
Γᾶιαν ὅλαν ἐπέρασε·
Σοὶ δ' ἅμα Φαντασία,
Σοὶ δ' ἅμ' Ἐπίνοια
Πολλάκις ἤθελον εἶναι.
Καὶ νῦν λέλοιπέ τις θεὸς ἠρανόν·
Ψιθυρίσματος πτερύγων
Αἴθρᾳ κλονεμένων ἀκούω·

Ὕπνος ἐντὶ νήδυμος,
Ὕπνος, φαντασιῶν ὀδαγός.
Σεμνοτάτων ἀπὸ θησαυρῶν
Εἴσφερ' ὧδε κάλλιστον, κιθάρα,
Τὸ μέλος· ἴσως ἔπαιδε ῥυθμὸς,
Γλυκύθυμον ὄρνιν' Ἁρμονίαν,
Χαριεστάτως μέλπεισαν,
Ἠπίως καταβάντ' Ὀλυμπόθεν
Προσφωνοῦσαν πρᾶον Ὕπνον,
Ὃς νῦν Δρυΐδος φρένα θέλγατο.

ΑΝΤΙΣΤΡΟΦΗ Α.

Τὰν ποτὶ μέσσον κιθάρας
Εὐκελάδα αὐτίκα ψαλεῦμαι
Χορδάν· καλᾶς δὲ νευρᾶς
Παλαίαν τηρῶ τάξιν,
Ἐπαπλασίως θίγων,
Ἕδραις θ' ὑψίστα ἁρανᾶ
Χαρίεν μέλισμα πέμπων.
Ἱερὰ δ' Ἐπίνοι' ἄκουσε,
Καὶ χρυσέας ἔλιπε θρόνους ἄνω·
Ὠκυτέρα δὲ θεσκέλων
Κομητῶν, θεῖαν ἦλθ' εἰς ὕλαν.

ΑΝΤΙΣ-

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

Γραφίδα δεξιᾷ φέροισα
Μέλλοντα χρόνον ἐκέλευσε Φαίνεσθ.
Καὶ ἔτη, ἀμέρας τ' ἔδειξε,
Προσεκλήκως ὁρῶσιν.
Εἰκόνων παρέπλα πλερωτῶν
Ὁ ποικίλος ὄχλος. Ὁρᾶθ'
Ὁρᾶτε τὸ πλῆθος ἀγνόν.
Νῦν δὲ σίλβει, νῦν δὲ λάμπ·
Τάχισα δ' ἀμαυρὸν φεύξεται·
Ὁρᾶτ', ἐγγράφετ' ἤτορ θέαμα,
Πρὶν ἀποφυγεῖν σκότος δε.

ΑΝΤΙΣΤΡΟΦΗ Γ'.

Τί ἐξέναξας, ἱερὲ Δρυΐ;
Τί κλαίεις ἀλγεινῶς εὔδων;
Τί πολιοχροτάφοι γέροντες
Ὀρθία ἵσατό σοι θέλξ;
Τίπλε σευ αἰνὸς ἰδρὼς
Ἔψυχε παρειάν; ——
Πλησιφαὴς δὲ σελάνα
Ὀρφνῷ καλύπλετ', ἔκφυγον ἀστέρες·

Ἀπὸ λοιμικῆ δὲ νότᾳ
Φλαυρῶς ἐρυθριᾷ κομήτης·
Μόνα νῦν σθένει μελίσ-
-μαθ' Ὕπνον κατέχειν Φυγόντα.
Εἰπὲ, λύρα, μέλος ἄδιζον,
Οἷον Ὕπνᾳ ἀρχὰν ἐκταινύσῃ,
Γλυκερᾷ, ὡς ἱερὰ γαλάνα
Ὀλιγοδρανεοίσας ἀρετᾶς,
Ὅτε γᾶν λιποῖσα ψυχὰ
Ἱπ[α]ταν π[τ]ερύγεσσ' ἀήθεσι
Παγὰς ζατεῦσ' ἀενάας
Πρὶν σῶμα λαχεῖν καθαρώτερον.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

ΗΜΙΧΟΡΟΣ.

Ἔρρε, σιδηρᾶς πέλεκυς·
Τί καταῤῥῆξαι μέλλεις δρυμά;
Δότε, θεοὶ, δότ' εὔψυχον σθένος,
Ἵν' ἐπάρατ' ἀπελαύνω
Πλήγματα. — Οὐκ ἔσ'· — εὔχομαι ἄλλως·
Κάπτεσεν ἱρὰν στρώννυεν ὕλαν.

Σιώπα,

Σιώπα, μάντι κακῶν, καρδία·
Μή με τάραττ' ἔτεις φόβοισιν·
Οὐχ ἥν εἴδωλον ἀμαυρόν; —
Μηκέτι μελίσδετ', ἀδελφοί·
Ὥρα πυρσέβηκε· πᾶν δ' ὅραμα
Εἰ δυσιώνισαν ἔφυ,
(Ὡς μάλα δείδω)
Εὐερκεῖ χρὴ σιγᾷ φυλάσσειν.
Ψύχε με συγερᾶς
Νυκτὸς κραδίην
Ἀτμὶς συγερή.
Ὀξὺ δὲ ῥῖγος, πυρετός τ' ἐλήφθη μ' ἀμοιβαίως.

CARACTACUS APUD MONAM

ACTUS III.

ARGUMENTUM ACTUS TERTII.

EVELINA, e cavernâ egreſſa, quandam DRUIDIBUS ſuſpicionem impertit de fide adoleſcentium; eamque præcipuè a vultu perturbato ELIDURI exortam. Sequitur CARACTACUS cum duobus hoſpitibus, quorum natu major cautam DRUIDUM prudentiam non ſine inſolentiâ accipit.

CHORUS autem ad examen ſolenne vocat ELIDURUM; ſcilicet ut ſaxum immenſum, ex utraque parte pendulum, digitis moveat; quod ni faceret, (opus pravi hominis vires exſuperans) morte ſubitâ et terribili afficeretur. Priuſquàm verò hoc certamen juvenis perterritus ineat, carmen recitant ſenes, in quo opem illius puri NUMINIS implorant, cujus tutelæ ſaxum illud mirabile a Diis erat mandatum, ut veritatem defenderet, et latentes dolos in lucem proferret.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ.

Γ'.

ΕΥΗΛΙΝΗ, ΧΟΡΟΣ.

ΙΑΜΒΟΙ.

ΕΥΗΛΙΝΗ.

Ακέλευστος ὕλην εἰς θεαίνας αὖ τρέφω
Σύνοδον δὲ σεμνῶν εἰσιδεῖν θεοπρόπων,
Νεως ἀπ' ἐκστάσεως ἐγερθέντων, δοκεῖ
Τολμηρὸν εἶναι πρᾶγμα· συγχωρεῖτέ μοι.

ΧΟΡΟΣ.

Τί δρᾶν θέλουσι δεῦρο προσμολεῖς, κόρα;

ΕΥΗΛΙΝΗ.

Ὅμως δὲ συγγνώσκετ', εἰ μάτην τρέμω·
Δειλαῖόν ἐστι πᾶν γυναικεῖον γένος.

ΧΟΡΟΣ.

Ὁπῖός ἐστι, σημανεῖν σε χρὴ φόβον.

ΕΥΗΛΙΝΗ.

ΕΥΗΛΙΝΗ.

Ἀταυθάλως δοκεῖσ' ὑπῳρᾶψαι δόλως
Κἄροι βεβηκοτεῖς, ὡς ὑπεπλεύω, πάτρες.

ΧΟΡΟΣ.

Ὅμως φύλαξαι τῶν τόδ' εὐλαβῶς λέγης·
Ὑπῳία γὰρ πολλάκις τῶν ἀρρένων
Κραδίην ἀνιᾷ σκορπιώδει πλήγματι·
Ἀλλ' ἡ ταρσίσει τοῖς φόβοισιν εὐμαρῆ
Θυμῷ γαλήνην, ἥτις ἐν κύραις ἔφυ.

ΕΥΗΛΙΝΗ.

Δείδω μάλισθ' τὸν γεραίτερον ξένον·
Ἐν τῷ λαλεῖν γὰ αὐτὸν αὐθαδεις λόγους,
Σιγῶν περ, ἐξηρνεῖτο πάνθ' ὁμοσπόρος.
Πατὴρ δὲ δηίοτητα κήδεται μόνην,
Εἴωθε γὰρ τόδ', εἴ γε νικᾷν ἤλπισε,
Καὶ ῥήματ' αὐδᾷ δεινά· χὠ νεώτερος,
Ἀκυσίως βαρὺ ζέναξεν· ἐκ δ' ὅτε
Τὸν συμπαθόντ' ὀφθαλμὸν εἰς ἐμ' ἔτρεπεν
Ἔπειτα δ' ἠτένιζεν εἰς Καρᾴκταχον,
Ἡρωϊκόν τε θαύματ' εἰσιδεν κάρα·

Βαρὺ

Βαρὺ ’ξέναξε δ’ αὖθις, ὡσεὶ δυςυχεῖς
Ὁμῶ πόθων τε καὶ τρέμων δεῖξαι δόλους.

ΧΟΡΟΣ.

Χρὴ τῶτ’ ἐρωνᾶν ἐμμελεστέρως, Φίλοι.
Οὐκ εἰ ματαία, δεῖν’ ὑποπτεύσει, παῖ.

ΕΥΗΛΙΝΗ.

Καίπερ πόθ’ ἑς’, ἐνθυσιῶν Καράκτακος
Τάχιστα Ῥωμαίοισι μάρναδ’ ἐς πόθων,
Προπετῶς ἀκούει δ’ γεραιτέρω λόγω.
Ἐμοὶ δ’ ἔδοξε, τ’ νεώτερον ξένον
Κοινωνὸν εἶναι τῶν δόλων ἀκύσιον.
Θάμβος δέ μ’ εἶλεν, ὅτι τεκοῦσα δύσμορος,
Ἀνεῦθε παιδὸς ἐν Βριγαντείᾳ χθονὶ
Μένουσα, μηδὲν εἰσέπεμψε σύμβολον
Φιλότητος εἰς ἔμ’, εἴς τε Φίλπατον πόσιν·
Οὐκ εἰσέπεμψε — δακρυχέω λέγουσα δή· —
Ἀπῶσαν ὧδε θυγατέρ’ ηὐλογήσατο.

ΧΟΡΟΣ.

Οὐκ αὐτόκλητός ἐστιν ὧδ’ Εὐηλίνη·
Ἐνέπνευσεν αὐτῇ τιὼ ὑποψίαν θεός·

Αὐτοὶ γὰρ, αὐτοὶ παρθένοις ἐκυσίως
Σοφίαν διδῶσι πολλάκις θείλατον,
Ὅταν ματαίως ἐπικαλώμεθ' ἄρρενες.
Κατασκοπὴ προσῆλθον εἰς ἡμᾶς ξένοι.
Βάδιζε πρὸς πήλαιον, ἀγαθὲ Καναβὴρ,
Καὶ προσκάλει τάχιστα τ' νεώτερον.

ΕΥΗΛΙΝΗ.

Μὴ τοῦτο δράσῃς — εἰ δ' ἀναγκαῖον τὸ δρᾶν,
Πρὸς θεῶν σε λίσσομ', ἄπλα πρέσβυ, μηδαμῶς
Πικρῶς ματεύσῃς τοῦτ'. Ἀνὴρ ἐλεύθερος
Μάλιστα μειλίχοισι πείσεται λόγοις.
Σύγγνωτέ μ', εἰ πάλ' ἐννέπω σ' ἁμαρτάνων·
Εἰ δ' αὐτὸν εὕρηθ', ὡς ὑποπεύω, κακὸν,
Ὅμως δὲ μὴ φρικώδεσιν βαρύνετε
Ἀραῖσι τλήμον'· ἔστι γὰρ μάλ' εὐγενὴς,
Ἀκών τ' ἔρεξε τοῦτο πρᾶγμ' ἀτάθαλον.
Ἐγὼ δὲ, πρέσβεις, τόνδε πειράσω ξένον,
Ὑμῶν θελόντων· εἰ δυνήσωμαι πλέον
Λιταῖσι πεῖσαι, καὶ λόγοισιν ἡπίοις,
Ἢ ταῖς ἀπειλαῖς ἀγρίαις θεοπρόποι.

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Γένοιτό· σοι γὰρ ἐξερωνᾶν ἐννέπω
Τάχιστα κῦρον. Ἀλλὰ μὴν Καράκταικον
Πέλας δέδορκα, καὶ νεανία δύο.

ΕΤΗΛΙΝΗ.

Ἐπελαθόμην τάλαινα, δειμάτων ὕπερ,
Τί δεῦρ' ἵκανον· εἰσέπεμψε γὰρ πατὴρ
Κάθοδον προσαιτήσουσαν· εἶδετ', εἴδετε,
Λυπηρὸν ὄμμα δ' νεωτέρᾳ ξένᾳ,
Ὄψιν τε, σημαίνουσαν ἄθλιον κέαρ;

ΧΟΡΟΣ.

Οὐ τῆπο φεύγω μ'· ἀδὲ δ' γεραιτέρᾳ
Γαῦρον πρόσωπον· ἀλλὰ βάσκ', Εὐηλίνη,
Βάσκ' εἰς φάραγγα· μηδ' ἀναστρέφῃς, πάρος
Πατέρα θεαίνας ἐκλιπεῖν σεμνῆς ἕδραν.

ΚΑΡΑΚΤΑΚΟΣ, ΧΟΡΟΣ, ΦΕΛΙΝΟΣ, ΗΛΙΔΟΥΡΟΣ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Σ Τ Ι Γ Ν Ω Θ Ι, πρέσβυ, τλώδε τὴν παρουσίαν·
Οὐχ οἷος ἦν τοιόνδε δηθύνειν χρόνον,
Ὁμῶ φόβοισί τ', ἐλπίσιν τ' ἐσραμμένος.
Ἀναίτιον πρὸς πέμψα τὴν Εὐηλίνην,
Ἵν' ἀσφαλῶς ἔμοιγε προσμολεῖν δοθῇ·
Ἀλλ' ἕνεκ' αὐτὴν ἀκέτ' εἰσορῶν κύρω,
Αὐτόματος ἦκω· μήποτ' ἄν μ' ὀνειδίσῃς·
Σεμνὴ γάρ ἐστιν αἰτία· κἄ μοι μόνῳ
Μέλει τόδ' ἔργον· τῆς δ' ἐλευθερίας πέρι,
Ὑμῶν τε, τῶν τε δαιμόνων μαχήσομαι.

ΧΟΡΟΣ.

Πειρώμεν' ἐσι πάνθ', ὅπως Ὀλυμπίων
Θέλημα μανθάνωμεν ἱροῖς θεσμίοις·
Ἀλλ' ἀκέθ', ὥπερ εἰκὸς, ὡς τ' ἠλπίζομεν,
Οἵδ' εὐμενῶς ἤκουσιν ——

ΚΑΡΑΚΤΑΚΟΣ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ὀλλύμεθα δή.

ΧΟΡΟΣ.

Ὅταν δὲ θεατρικοῖς ἐκοιμήθην ὕπνοις,
Ἐτάραξέ μ', ὦ ναξ, δυσμενῆ φαντάσματα,
Ἔνδεινα, καὶ σκυθρωπά, καὶ δύσμορφ' ὁρᾶν,
Καὶ νηλέως κεκραγόθ'· ὡς δ' ἠγειρόμην
Ἔτι θυμὸς ἐτρόμησε· φρικτὸν ἦν τὸ θᾶαν·
Πικρὰς δ' ὀδυρμὰς τῶν ἔνερθεν ἔκλυον
Δεινῶς ὑποπλεύσαντες οἱ θεοπρόποι —

ΦΕΛΙΝΟΣ.

Φράσον τάχιστα· τίφθ' ὑποπλεύεις, Δρυΐ;
Ἄναστα τῶν Βελγαιτέων ——

ΧΟΡΟΣ.

Σιγᾶν σε χρὴ,
Δύσηνε· πῶς ἐμῶν ἐτόλμησας λόγων
Καταφρονεῖν; εὖ δ' ἴσθι, σεμνότητ' ἐμὴν
Οὐ δεῖ σ' ὑπερορᾶν, ἀλλά μ' αἰδεῖσθαι, ξένε.

ΚΑΡΑΚΤΑΚΟΣ.

Μὴ δῆτα, μάντι, τήνδε τὴν ἁμαρτίαν

Κόλαζε

Κόλαζε πικρῶς, ἥτις ἐκ λύπης ἔφυ·
Γενναῖος ὢν ὁ ξεῖνος, ὡς ἀδημονεῖ
Μέλλουσαν αἰὲν προσδοκῶν εἱμαρμένην;
Τυχόν γε τοῦτο τῆς σεληναίας Φάος
Φίλην ὁράσῃ πατρίδ' ἐζητωμένην·
Καὶ τὴν πάλαιναν μητέρ', αἰχμαλωτίσι
Χερσὶν σίδηρον βαστάζουσαν ἄγκιστρον,
Στείχουσιν αἰσχρῶς ἐν θελάμῳ δυσμενῶν.
Ὦ θεοὶ, δύναιτο τηλιμόνως βδελυγμίαν
Ὁρᾶν, νεανίας τε, κἀρτερός θ' ὁμοῦ;
Τοῦδ' ἀνδρὸς ἦλθεν ὄφρ' ἔχῃ πικρίαν·
Ταύτης δὲ μὴ τυχὼν, ἀνέλπιστος μένει·
Τίς γὰρ, τίς ἥρως λείπετ' ἐν Βρεταννίᾳ,
Ὃς Ἰτάλοισιν ἀντιγωνίζεθ' ἔτι
Βούλοιτο; τίς δ' ἄναξ ἐλεύθερος πέλει,
Ὃς, δυστεβοῦς καταφρονήσας Κλαυδίου,
Σκηπτοῦχος ὢν, δόλοισιν ᾧ φέρει παχήν;

ΦΕΛΙΝΟΣ.

Ὦ ναὶ ἄναξ ἀμύμων, εἰ σὺ μὴ πιτάρροθος
Ἦλθῃς, προσελθόντ' εἰ δέ σοι νίκην θεοὶ
Οὕπως διδῶσιν, ὧδ' ἐλπίζω τάλας.

Δεῖ μ' εἰσιδέσθαι τὴν ὑπόπλωσιν ἁλὸς
Τῆς δυσελαίνας μητρὸς, ἡμῶν τ' ἀμμόρων
Δύλην ἀνάγκη γῆν πατρῴαν εἰσορᾶν.

ΚΑΡΑΚΤΑΚΟΣ.

Εἰ δ' εὖ φρονῶν, φέλινε, μαντεύῃ τάδε,
Ἀρετὴ βέβηκεν ἀγλαῶν ἀπ' ἀστέρων
Τις ἥρπαγεν δίκαιά τις δυσεμφάτων
Κακοδαιμόνων ἀφεῖλεν ἀράνιον σθένος,
Τύχῃ θ' ἅπαντ' ἔδωκεν — εἰ δ' ἔσαι τάδε,
Δεινοί τ' ἐφυβρισταὶ ἀρχεύσασ' ἀεὶ,
Ἄτακτός ἐς' ἐν ἀρανοῖς ἀναρχία.
Μὴ δῆθ' ὑπόδρα μ' εἰσίδῃς, ἱερὲ Δρυΐ,
Οὐκ αὐτὸς ἕτως οἶομαι, τάδ' ἐννέπων.

ΧΟΡΟΣ.

Τλήμων ἂν εἴης, τῶτο πιστεύων, ἄναξ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἐγὼ δὲ θυμὸν αἰὲν ἐλπίζων ἔχω
Πρὸς θεῶν ἄνακτα, πάνσοφον, παναόλβιον,
Ὅς, ἡνίχ' ἱρὸς πρῶτ' ἐγεννήθη χρόνος,
Βαθυῤῥόᾳ Φίμωσεν ὠκεανῷ μένος,

Αἰδῶντος

Αἰδοῦντος ἀγνῶν θεῖον ὀμμάτων σέλας.
Ἔπειτα δ' ἐν γελῶντι κύματ' ἄμβροτον
Βάψας βραχίον', ἐκ σκότων ἐξείλκυε
Τὸν μεγαθενοῦς Ἐλευθερίας θρόνον·
Ζώνῃ δὲ λευκῶν θῖνα κοσμήσας πετρῶν,
Κλυτὸν δέδωκε τοὔνομα ΒΡΕΤΑΝΝΙΑΣ.
Αἰὲν δὲ γῆν σαώσετ' ἠγαπημένην.

ΧΟΡΟΣ.

Ναὶ, φίλταθ' ἥρως· εἰσαιεὶ δῆλον τόδε,
Θεῶν ἄνακτα, πάνσοφον, πανόλβιον,
Ἅπαντα ποιεῖν εὖ τε, κ. μάλ' ἐνδίκως.
Ἀλλ' ὅπότ' ἀνδράσιν τυφλῶς πιστευτέον,
Οὐ τοῖσδε κύροις, κἂν φανῶσ' ἐλεύθεροι,
Πάρος καλεῖσθ' ἐναργὲς εἰς τεκμήριον,
Ὅ, τ' ἀρραγεῖς ἐκέλευσαν Ἀνδράσης νόμοι.

ΦΕΛΙΝΟΣ.

Οὔτοι νομίζεις, μάντι, σῆμα πίστεως
Σφράγισμα Καρτισμανδύας δεδεγμένον;
Ἐξυθενίζειν τοῦτο σημεῖον βαρύ.
Μὴ πρὸς θεῶν μ' ὕβριζε· τοῦθ' ὅμως φράσον,
Ἡμῖν ἀπιστῶν, οὐκ ἀπιστεῖς μητέρι;

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Σιγᾶτ'· ἀμοιβαίως γὰρ ἐχ ὑμῖν λόγως
Δώσω ματαίως· ἔνθα δ', ὦ νεανίαι,
Ὁρᾶτε, χ᾽ βλέποντες ἐκθαυμάζετε.
Σφαίρωμα γὰρ θεόδοτον ἐκ πέτρας ἐκεῖ
Δὴν ἐκρεμᾶτο· νῦν μὲν ἔμπεδον δοκεῖ
Μάλις', ἀκίνητόν τε· τοῦτο δ' ἴσατε·
Ὅσις γ' ἀθῶον ἦλθε καρδίαν ἔχων
Σφαίρας τε δακτύλοισι κἄφως ἅπτεται,
Τάχιστα κινεῖ· θιγγάνων δ' ἀπέθαλος,
Καίπερ γιγάντων ἐκ' ἐν ὠλέναις θένος,
Σινωδῶνα θᾶττον ἄμβροτον κατισρέφη.
Μὴ γᾶν πιθέσθ μ' οἵετ' ἀχρήσοις λόγοις,
Ἀλλ' εὐθὺς εἰς κρητήριον βαδίζετε.
Πεπάλαχθε νῦν κλήροισι, τίς λαχὼν κυρεῖ·
Σὺ δ', ὦ Λεῶλι, πρεσμολὼν, νεωτέρῳ
Κλήρων πρότεινον, ὥσπερ εἰκὸς, αἵρεσιν.

ΗΛΙΔΟΤΡΟΣ.

Τί χρῆμ'; ἔμοιγε τοῦτο συμβέβηκ', ἄνερ;

ΧΟΡΟΣ.

Ναὶ, ξεῖνε· γνωσόμεθ' ἀλήθειαν τάχα.

ΗΛΙΔΟΤΡΟΣ.

Ὦ θεοὶ πανόπλαι, καὶ γὰρ ὑμεῖς οἴδατε
Ἀπανθ', ἃ τλήμων Ἡλιδῶρος ἔπραξα)
Οἴ μοι· τίς ὑμῖν χεῖρας ἄρων ἀβλαβεῖς,
Θρόνον βεβαίως εἰσορᾷ σμαράγδινον;
Ἀνοίξετ' ἤν, ἀνοίξετ' ἐμφανῶς κέαρ,
Κἀχ οἷός εἰμι τοῦτο κωλύειν, θεοί.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἀνίστασ', ὦ παῖ, μηδὲν ἐκφοβούμενος·
(ΣΦῶ μὲν γὰρ ἐσὺν ἀτρεκῶς ἀληθινῶ·)
Βάσκ' εἰς ἐπασμὸν ὀπτάχιστα· Σιλύρων
Ἄναξ πρόσεισι.

ΧΟΡΟΣ.

Μήποτ', ὦ Καράκταξε,
Γένοιτο· μύνοις ξυμφέρει θεοπρόποις
Ψυχὴν ἰδέσθαι δ' ξένα πειρωμένην·
Σὺ δ' αὖθις εἰς ἀπήλαιον ἀναχωρῶν, ἄναξ,
Ἐκεῖ φύλαττε τόνδε τ' γεραίτερον·
Ὅταν δ' ἐτασμὸς εὐσεβῶς περαίνεται,
Λέξω τάχιστα ποῖον ἔργον ἤθελε
Πρᾶξαί σε, ποῖον δ' θέλει, πεπρωμένη.

Ἕτοιμα

Ἔπιμα νῦν πιήσωθ' ἅγια θέσμια·
Ὑμεῖς δέ θ', ὑμνητῆρες, ἆσμ' ἀείδετε,
Εἰωθὸς ἱρᾷ Φροίμιον κελτηρίᾳ.

ΕΠΩΔΙΚΑ.

ΣΤΡΟΦΗ.

Ὅς ῥα τάνδε ποικίλοις
Πτεροῖσι σφᾶραν ἄνωθε
Καθαρὸς δαίμων καλύπτεις·
Μαρμαρέναισί τε φλεψὶ ζωὴν
Ἐμπνέων, κέλευσας
Πιθέσθ' Ἀλαθότητι·
Τώσδε τοι ὕμνως
Ὁμοθυμαδὸν μέλπομες·
Ἄκτε πρόφρων, ἄκτε.
Ὃς ἀγλαΐας ἕνεκ' ἀρετᾶς
Φύσεως νόμους παραβαίνεις,
Ἄκτε δὴ καλεύντων
Καλλίσας Εἰράνας τέκνων.

ΑΝΤΙΣΤΡΟΦΗ.

Λαμπρὸν Οὐρανῷ γένος,
Χρόνῳ παῖς πρωτότοκος, νύ-

-ματα πόντε καὶ θύελλαν
Ὃς περύγεσι θέλγεις εὐκήλοις·
Τῶνδ' ἄριζε λαῶν,
Οἱ ἱλαδὸν πτᾶνται
Ἴριδος αὐγᾷ,
Σὺ μόνος βροτῶν καρδίαν
Ξυνίης· μῶνος δυνήσῃ
Λαθᾶσαν εὑρέμεν Ἀπάταν,
Στιβαραῖς τε χερσὶ πανέργον
Φόωσδε δαίμον' ἕλκειν,
Οὐλύμπῳ, γαίᾳ τε συγγάν.

ΕΠΩΔΟΣ.

Δυνήσῃ δὲ Συνειδήσεως
Εὐδοίσας πτέος ἐσελθέμεν,
Ἄνευ τε Φαρμάκων,
Ἄνευ τ' ἐπῳδᾶς μαγικᾶς,
Ἔξ ὕπνων ἐγειρέμεν,
Ἀφειδέοντιν ὄνυξιν ἦτορ
Πλήσσειν ἀταθάλῳ ἐννέπων.
Πολλάκις δ' ἄρ' ἐντολὰς
Προκατελάμβανε δεινὰς,

Αὐτομάτα

Αὐτομάτα βασάνῳ
Ἴσασί γ' ἄραν,
Καὶ κέντρα σκορπιοειδῆ
Ἐμβαλλε μιάσμοις.
Διότι, ὦ ἄνες Ὀλυμπίων,
Μένον, ἐπάνω πέτρας ἀγήν-
-τῳ ἀμφερόμβιος. —
Εἰ δόλος ἔρχητ' ὄβριμος,
Δεῖξον· τἄλλα δὲ Μαινάσιν
Ἐπίτρεψον Δρυΐσι,
Σεμνᾷ τε Σωσιδήμᾳ.

CARACTACUS APUD MONAM

ACTUS IV.

ARGUMENTUM ACTUS QUARTI.

DUM EVELINA, jussu DRUIDUM, ELIDURI fidem explorare incipit, priusquam examen severius aggrediatur, subitus et insperatus ARVIRAGI fratris reditus, colloquio finem facit. Fugæ et ignaviæ crimen a se amovet; docet autem insidias ROMANORUM in ipso sacerrimo luco esse positas. Hinc ingens in ELIDURUM iracundia, atque ipsa mortis minitatio: contra hostes tamen se pugnaturum despondens, liberatur; fratremque linquit obsidem, CARACTACI manibus commissum. Regis ob filium, quasi e morte revocatum, gaudia et amplexus. Suspicio autem vehementius in ELIDURUM cadit, quia VELINUS furtim, annunciato ARVIRAGI reditu, fugæ se tradiderat, dum CARACTACUS, amore paterno exultans, penitùs custodiæ oblitus est.

JUVENEM igitur, auditâ fratris perfidiâ obstupefactum, in extremo mortis periculo versatum, sua ipsius egregia virtus, precesque EVELINÆ iterum liberant. CHORUS CARACTACO quercûs maximè sacratæ custodiam mandat, et ARVIRAGUM cum ELIDURO, jam in gratiam recepto, in hostes cum sacris agminibus mittit.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ.

Δ'.

ΧΟΡΟΣ, ΗΛΙΔΟΥΡΟΣ, ΕΥΗΛΙΝΗ, ΑΡΑΙΡΑΓΟΣ.

ΙΑΜΒΟΙ.

ΧΟΡΟΣ.

Ηκουσας ἦν σεμνῆς ὀπιπλήσεως, ξένε;

ΗΛΙΔΟΥΡΟΣ.

Μάλιστα, πρέσβυ· καὶ παράξατο φρένα,
Ὡσεὶ πλερωτῆς ἀμφιπλὴξ βροντῆς κτύπος·
Νῦν δ' εἰς ἑταιρὸν ἔρχομαι τ' πίστεως.

ΧΟΡΟΣ.

Πρὶν τῦτο δρᾶσαι, δεῖ σε φροντίζειν πάλιν·
Ἀναπολόγητος ἔψεται διαφθορὰ
Εἴ γ' εὑρεθῇς ἄπιστος· ὡδ', εἰ βέλομαι,
Σώζειν σε δύναμαι, τλῆμον· ἀλλὰ χρὴ θανεῖν.

ΕΥΗΛΙΝΗ.

ΕΥΗΛΙΝΗ.

Τί φῄς, γεραιέ;

ΗΛΙΔΟΥΡΟΣ.

Μῶν πάρες' Εὐηλίνη;

Εἰσάγετέ μ' εἰς κριτήριον, θεοπρόποι.

ΧΟΡΟΣ.

Οὔκ· ἀλλὰ τήνδε παῖδα ὦ Καρακτάκη
Πρῶτον κελεύω πεῖσιν ἐκπειρᾶν τέην·
Ὀρθῶς δὲ μειλίχοις ἀποκριθεὶς λόγοις,
Τυχόν γ' ἑτασμὸν ἐκφυγεῖς χαλεπώτερον.

ΗΛΙΔΟΥΡΟΣ.

Μᾶλλον δὲ πρὸς σφαιρώματος πεῖραν μολῶ.

ΕΥΗΛΙΝΗ.

Καταφρονεῖς μοῦ, ξεῖνε; — προσαιτεῖσθαί σοι
Γυνάζομ', εἰ λαθοῦντας ἐννοεῖς δόλους,
Δεῖξον γεραιοῖς· πρὸς θεῶν σε λίσσομαι,
Ἄναχτα σῶσον εὐγενῆ· σῶσόν τ' ἐμὲ
Ἐχθρῶν ἀπ' ἀγριωτάτων· γένοιό μοι
Ἀδελφός· εἴπερ οὐμός ——

ΑΡΑΙΡΑΓΟΣ.

Ὦ τάλαινα παῖ,

Ἀνίσασ'· — ἔ σε βλέψομαι γυναμένην,

Οὐδ' εἰς ἀλάζονος τὸ βῆμα Καίσαρος.

ΕΤΗΛΙΝΗ.

Ὦ σύγγον', ἐδὲν ἄλλο, σύγγονος γὰρ εἶ,

Ἔχω σ', Ἀραίραγ', ἐ δοκῦσ' ἔξειν πότε·

Κενοὶ μὲν ἦσαν ἐμφανῶς πατρὸς φόβοι.

Ποῖ γ' ἐπλανήθης, πῶς τ' ἐσώθης, φίλτα[ε;

Ἐδάκρυον, ὦ παῖ, σε πώτ' ἐξολωλότος·

Νῦν δ' ἐνδακρύω τῆς ἀπροῤῥήτε χαρᾶς.

ΑΡΑΙΡΑΓΟΣ.

Σὲ μὲν πρόθυμος, ὡς ἔδει ξυναίμονα,

Τάχ' ἀπασαίμην, πελέκαλῶν βραχίονι·

Πρῶτον δὲ λέξον, τίπ' ἔκαμψας γένατα;

ΕΤΗΛΙΝΗ.

Μὴ δῆτα, μὴ δῆτ' ἐξέταζε νῦν τάδε.

ΑΡΑΙΡΑΓΟΣ.

Οὐκ ἂν πιθοίμην μὴ ἐ τάδ' ἐκμαθεῖν σαφῶς.

Πόθεν μὲν ἦλθες, καὶ τίς εἶ;

ΗΛΙΔΟΤΡΟΣ.

Βρετάννιες.

ΑΡΑΙΡΑΓΟΣ.

Αἰνῶ σε· τῦτον σωτόμως ἔπαιρε λόγον.

ΕΥΗΛΙΝΗ.

Γενναῖος ὠνὴρ ἐστ· μὴ τόνδ' ὑβρίσῃς·
Ἀλλ' ἔνθ', ἰδὲ, πάρεισιν οἱ θεοπρόποι·
Αἰδημόνως γέροντας ἅπασαν, κάσι.

ΑΡΑΙΡΑΓΟΣ.

Μάλισα· μὴ δ' ἐντεῦθεν ἐκφύγῃς, ξένε,
Πρὶν ταῦτά γ' ἐξῇς πάντα σημαίνειν ἐμοί.

ΗΛΙΔΟΤΡΟΣ.

Οὐκ ἐκφυγεῖν μεμάθηκα, πεῖ Καρακτάκυ.

ΑΡΑΙΡΑΓΟΣ.

Ὦ φίλτατοι γέροντες, ἑρμηνεῖς θεῶν,
Ἀραίραγος μὲν ὑμὶν ἀσοτόμως πάρα·
Καὶ μὴν πάρεσι δυσυχεῖς φέρων λόγυς.

ΧΟΡΟΣ.

Ὦ πεῖ, κελεύω σ', εἴ τι σ' σωτῦ βίᾳ

Κήδῃ.

Κήδη, σιωπᾷν· σὸς γὰρ εὐγενὴς πατὴρ
Κατηγόρει σε δειλίας τε, κ᾽ Φυγῆς·
Διὰ τοῦτό σ᾽ ἐ λόγοισιν ἀνταμείψαμεν
Πάρος σε δεῖξαι, τίπ᾽ ἐποίησας τροπών;

ΑΡΑΙΡΑΓΟΣ.

Ὦ θεοὶ πατρῷοι, δυνατὸν ὧν Φυγεῖν κακῶς
Καρακτάκυ φύτλμα;

ΧΟΡΟΣ.

Μή τι κενολόγῃ·
Ἀλλ᾽ εἶπ᾽ ἀληθῶς τίπ᾽ ἀρ᾽ ἐξέλιπες μάχην;

ΑΡΑΙΡΑΓΟΣ.

Οὐκ ἔλιπον, ὦ γέροντες· Ἀνδράσιν καλῶ,
Γῆν τ᾽, ὐρανόν τε, μάρτυρας· ἐχωρησάμην
Κακῶς Φυγόντα συγκαλεῖν στρατὸν θέλων.
Σωῆγον· αὐτὸς δ᾽, εἰς μάχην ἀναστρέφων,
Καὶ νῦν πεπιθὼς Ἰτάλως νίκᾳν δορὶ,
Ἰῷ βεβλημένος μιαιφόνῳ, πεσον.
Κάδδ᾽ ὅστε λειποψυμίας ἐκάλυψε νὺξ,
Ψυχρῦ τε, καὶ νεκροῖσι συμμεμιγμένυ.
Τοιαῖσδε συμφοραῖσι βάκχαλός μέ τις

Εὕρηκε, καί μ' ἐσώσεν· οὐκ ἔχω λέγειν
Οἵοις δόλοισι τἄμὸν ὄνομ' ἐκρύπτετο.
Νῦν χρυσοπώλης ἐν μέσῳ δήμῳ λαθὼν
Νῦν βάρβιτον ἐφόρησεν δυσφωνέσατον,
Οὕτως ἵν' ἐχθρῶν ἐκφύγω ζητήματα.
Ὅταν δ' ἐς ἀρχτικὸν βέβηκ' Ὀσωρίος
Νήσῳ μερισμὸν, δὴ τόθ' ἡρῶας καλῶ
Οὓς πόλεμος ἐξέσωσε· καὶ δέξας γυνὸς,
Ἐκέλευσα λοιπὸς εἰς ἓν ὁπλίτας ἄγειν
Εὐθὺς, φυγεῖν τε πρὸς πετρῶν τειχίσματα.
Τᾶτ' εὐτυχῶς ἔπραξα· νῦν δ' ἱρὸν χάρα
Τηρῶσι Σνωδῶνος ὡς διχίλιοι,
Ποθοῦντες ἀρχὴν εὐγμοῦς Καρακτάκυ.

ΧΟΡΟΣ.

Γενναῖος εἶ πᾶις ——

ΕΤΗΛΙΝΗ.

Ἐσὶ γενναῖος, πάτερ·
Οὐκ ἠπατήθην· οὐδ' ἀτιμάζει γένος.

ΧΟΡΟΣ.

Τὴν πίσιν ἐζήτησις εὗρεν εὐπρεπής·

Αἰεὶ

Αἰὲν δέ σοι λιδοία θ' ἱροὶ δαίμονες
Ἐσθλὴν φρόνησιν καρδίας δαήμονος·
Αὐτὸς γάρ ἐσιν εὐτυχέστατος βροτῶν,
Ψυχῆς ὃς ἀρετὴν εἶχε, σώματός θ' ὁμοῦ.

ΑΡΑΙΡΑΓΟΣ.

Αἰ, αἰ μάταια ταῦτα, κἀκ ὀνησιμά·
Μὰψ γὰρ πονοῦμεν, θεῶν ἐναντιωμένων·
Ἐγὼν ἀγαυὸς ἐκεῖ' ὄψομαι φίλους,
Καρακτάκυ παρόντος ἐρημένους·
Τοίας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας.
Ἐπῆλθε δεῦρο συγγὸς Ἰτάλων κρατός.

ΧΟΡΟΣ.

Ὦ δεινὰ λέξας, ὀδ' ἀκουσὶ πρόσγματα.

ΑΡΑΙΡΑΓΟΣ.

Κρυπτὸν μελαίναις ναυσὶν ὁρμητήριον
Κόλπος πάρειχεν εὐρὺς, αἰγείρων σκιᾷ·
Ἔπειτα δ', ὡς θεσπὸν ἐφικόμην πέδον,
Ἐχθρὸς ἑώρακ' ἄνδρας θάμνοις λαθεῖν
Ὡπλισμένους· κόρυθες δ' ἔλαμπον ἀγλααὶ,
Ὡσεὶ φαλαινῶν γυῖον ἐν θαλάσσαις φάος·

Σιγῶν

Σιγῶν παρῆλθον ἀλλὰ θαυμάζω, πάτερ,
Πως σκότον ἐξέφευξα Ῥαμνούσιον λόχον.

ΧΟΡΟΣ.

Πόσοι γ' ἀριθμῷ; Φράζε· μῶν ὄχλος πολύς;

ΑΡΑΙΡΑΓΟΣ.

Ἧκισα, πᾶσιν εἰ λόχησιν εἰσιδών.

ΧΟΡΟΣ.

Ἰὼ, ἰώ, γέροντες· Ἰτάλων τραπὸς
Οὐκ αὐτόκλητος ἦλθ'· πεφάτην δ' ἐμφανῶς
Δηλήμονες προσῆγον. Ἀγάγατ' εἰς ἐμὲ
Τὸν Ἡλιδῶρον — Εἰπέ μοι· τί δεῖ παθεῖν
Τὸν ἄνδρ' ἀνόσιον, πατρίδ' ὃς πεῤῥάψατε γῆν;

ΗΛΙΔΟΤΡΟΣ.

Ξίφει κολάζετ' ὠκεῖ βδελυγμίαν.

ΧΟΡΟΣ.

Οὐκ ὤκα· βαρδίσεως τε, ὦ δεινῶς θανεῖν·
Τοίηνδε μοῖράν σοί τε, σῷ θ' ὁμοπάτρᾳ
Ὑπιχόμεσθα· δῆλον, ὡ κατάρατε πᾶν,
Τὸ πᾶν μίασμα· σφὼ δ' Ἰταλοῦ μέγος

Βωμὸς

Βωμὸς ἐπ' αὐτὸς ἐνικαλείσεται σφαγῶν
Μάντεις γεραιός.

ΗΛΙΔΟΤΡΟΣ.

Ποτνι' ἑρμηνεῦ θεῶν,
Πρόσωπον εὖ 'σήμηνεν, ἐκ ἀρείου πάγου,
Κρυφαῖον ἄχθος· ἐδ' ἀρ ἐκ φόβου, γέρον,
Ἡ 'μὴ δύσελπις καρδία παράστεπε.
Γνωσὸν τόδ' ἐστὶ θεοῖσιν, ἀγνωσὸν δέ σοι.
Οὐ γάρ τις ἀνὴρ, κἂν σοφώτατος ῥεγὼς,
Ἀνδρῶν ἰδέᾳ καρδίαν διιήσεται.

ΑΡΑΙΡΑΓΟΣ.

Οἴ μοι· τί γῆν ἔδρασας, ὦ τλῆμον ξένε;

ΗΛΙΔΟΤΡΟΣ.

Οὐκ ἐννέπω σοι· τῦθ' ὅ, τ' οἶδατ', οἴδατε.

ΧΟΡΟΣ.

Βασανισμὸν, ὦ κάκιστε πῆ —

ΗΛΙΔΟΤΡΟΣ.

Βασανιστέον.
Εἰ γὰρ φρικώδης ἐστὶ, ζυγὸς παθεῖν,

Ὅμως

Ὅμως δὲ πιστὴ Καρτέρησις ὀλίγον
Σιγᾶν διδάξει, κἀ φυγεῖν ζητήματα.

ΧΟΡΟΣ.

Εὐθὺς τόδ' ἔσαι δῆλον, ἡνίκ' ὀρίμοις
Τὴν σάρκα κέντροις, κἀ δέμας παραίζομεν.

ΑΡΑΙΡΑΓΟΣ.

Μὴ δῆτα τοῦτο πάσχε μᾶλλον, ὦ ξένε,
Τὸ τᾶν ὁμολόγᾳ νητρεκῶς· νέος γὰρ εἶ,
Πρόσωπόν ἐσιν εὐγενες· δυνήσεται
Τόσην μίανσιν εὐγενὴς ἀνὴρ ποιεῖν;

ΗΛΙΔΟΤΡΟΣ.

Δεινὸν τὸ σιγᾶν, δεινὸν ὁμολογεῖν, πάτρες·
Ὤ μοι, τί ῥέζομ'; ——

ΧΟΡΟΣ.

Εἰσορᾶτε, Φίλτατοι,
Λύπην βαρεῖαν; ἃ μάτην Ἑλλὰς
Ἔκρινεν· ἦν ὁ ξεῖνος ἠπατημένος.

ΗΛΙΔΟΤΡΟΣ.

Μόνον τόδ' εἰπὼν, ἄδεν ὕστερον λέγω.

Μῶν

Μῶν δεῦρ' ἀφίκετ' ἐχθρὸς Ἰτάλων στρατός;
Δότ', ὦ γέροντες, εἴκοσι Βρεττανέας,
Ἵν' ἐκβάλωμαι — φεῦ· τί δυσχερῆ λέγω;
Ξύνοιδ', ὅθ' ὑμεῖς κήδετ' εἰρήνην μόνην,
Οὐ δῶρα πολέμου. Προσάγετ' εἰς τιμωρίαν.

ΑΡΑΙΡΑΓΟΣ.

Ἄ δᾶλε, σοῖσιν ὡς σιωπαχαλῶ κακοῖς.

ΧΟΡΟΣ.

Καίπερ θεοῖσιν ἐξόχως ἰρώμεθα,
Ἀλλ' ὃ κέλευσε παῖδας Ἀνδράσι φέρειν
Αἰχίσμαθ' ὑβριστῆρος, ὡς ἀμνὸς σφαγήν.
Πρόφρων σε Ῥωμαίοισι πέμποιμ' ἄν, ξένε,
Καί σ' ἐγκελεύοιμ' εἰσάγειν στρατεύματα·
Βωμῶν δ' ἔναντι δύσμορόν σε χρὴ θανεῖν.
Ὅταν γὰρ αὐτὸς τῆσδε σάλπιγγος βοὴν
Δίδωμι, προσκαλῶ τάχιστα χιλίους
Τέχναισιν ἱεραῖς προσπόλους ἠσκημένους·
Οὐχ ὥσπερ ἴστισ' ἄνδρες Ἰταλοὶ μάχην,
Πόλεμον δὲ θαυμασοῖσι ποιοῦντες τρόποις,
Χαλεπὸν δυνήσονθ' εἰσφέρειν ἐχθροῖς δέος.

ΗΛΙΔΟΤΡΟΣ.

Ὦ πρὸς θεῶν, γεραιὲ, προσκάλει τάχα·
Ἀραίραγος σφ' ἡγήσετ'· αὐτὸς ἔψομαι,
Καὶ τόσδε δεσμὸς πανταχῇ βάλλων, τυχὸν
Τιν' ἐχθρὸν ἄνδρα βλάψομ'—

ΑΡΑΙΡΑΓΟΣ.

Εἶα, σάλπισον· 1120
Τάχισα σάλπισον, κάλει Βρεπαννέας.
Ὁ δ' ἄθλιός τε, κ᾽ δυσέριστος ξένος . . . .

ΧΟΡΟΣ.

Ἕψοιτ' ἄν. Οἶδα δ' προοιμίᾳ τέλος·
Μάλιστα, κρυπτὸν εἰ δόλῳ' ἐδείξατο.

ΗΛΙΔΟΤΡΟΣ.

Οὗτοι τόδ' ἔσαι· μηδὲν ὁμολογῶ, γέρον. 1125

ΑΡΑΙΡΑΓΟΣ.

Ἀλλ' εἰ σύγ' ἐδέν, ξεῖν', ἐπίησας κακὸν,
Ὁ σὸς δ' ἀδελφός· — εἰπέ· μῶν σιγᾷς ἀεί;

ΗΛΙΔΟΤΡΟΣ.

Ἔχων ἀδελφὸν ἐ τάδ' ἐννέπων κύρεις·

Εὐηλίνης

Εὐηλίνης δ' ὅμαιμος ὢν, Ἀραίραγε,
Ἀγάπην ἀδελφῶν, κ᾽ φίλην ἑταιρίαν
Πῶς ἀγνοεῖς; ἀκύσατ', ὦ θεοπρόπε.
Καίπερ μί᾽ ὥρα νῦν ἐλευθερίας ἐμοὶ
Ἀνταξία γένοιτο μηκίστη βίᾳ,
Καίπερ δεχοίμην, ὥστε δῶρον ἐρανοῦ,
Καίπερ τε χρῴμην ὡς Ὀλυμπίων δόσῃ,
Ὧδ' ἀ ωριαίμην· εἰ διδῶτε ωρόφρονες,
Δώρᾳ καὶ αφρονήσομ', ἐν δεσμοῖς μένων,
Εἰ μὴ πιεῖτε τῳδε τῳ ὑπόχεσιν·
"φέλινος ὐδὲν ωείσεται κακὸν βλάβος."

ΧΟΡΟΣ.

Κάλλις' ἔλεξας· ὥστε θαυμάζειν, τέκνον,
Κλύοντας· ἴσθ' ἐλεύθερος· γενήσεται
Ὁ σὸς ξύναιμος τ᾽ βεβαίας πίστεως
Ὅμηρος.

ΗΛΙΔΟΤΡΟΣ.

Οὐδὲν ἄλλο βούλομαι, πάτερ.

ΑΡΑΙΡΑΓΟΣ.

Νῦν δεξιάν σοι χαρμονῇ φιλίας δίδως

Ἀσπάζομαί σε ξύμμαχον· νῷν γὰρ, ξένε,
Καλὸς πέπρωται θάνατος, ἢ νίκης κλέος.

ΧΟΡΟΣ.

Ἀλλ' οὐκ ἐάσω ξυμμαχεῖν, πρὶν εὐσεβῆ
Καθαρισμὸν ἔξειν· οἶδ' ὅτ' οὐχ ἑκουσίως
Τῷ πράγματ' ἐνεχείρησεν· ἐν δ' ἁμαρτάδι
Κακοσμία, ξυμπᾶσιν ἄγνωστος βροτοῖς,
Αἰωνίοις θεοῖσιν ἐχθίστη πέλει.
Ὃς δ' εἶχεν ἀνδρῶν δυσεβῶν ὁμιλίαν,
Ἴσην κάθαρσιν αὐτὸν εὑρήσειν χρέον,
Τῷ δυσπότμῳ, φυγόντ' ἀπὸ πολίσματος,
Ὅπου γε λοιμὸς μαίνεται φθισίμβροτος.
Ὑμεῖς δ' ἐν ὕλης τάρφεσιν, θεοπρόποι,
Θεσμοὺς τελεῖτ', εἰσοὐχ' ἁγιοθήσεται.
Ἐν τῷ μεταξὺ δ', ἀγαθὲ πῦ Καρακτάκε,
Ἀμύμον' εἰς τέκνοντά σ' εἰσάγειν θέλω.
Αὐτὸν δ' ἄνακτα προσμολόντα δέρκομαι
Σπευδῆ, πυθέντα παιδὸς ἁρπασμοὺς λαβεῖν.

ΚΑΡΑΚΤΑΚΟΣ.

ΚΑΡΑΚΤΑΚΟΣ, ΑΡΑΙΡΑΓΟΣ, ΧΟΡΟΣ, ΕΥΗΛΙΝΗ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ω χαῖρ' Ἀραίραγε, χαῖρέ μοι, τέκνον, τέκνον·
Ὡς εὖ παρέζης· ὥς σ' ἐναγκάλιζομαι,
Ἀπροσδόκητον, κἀφάτον χαίρων χαράν.
Μή μ' ἀνταμείβου, φίλτατ', ἐδὲ τοῖς λόγοις
Πέραινε κωφὴν ἔκστασιν· πάνθ' ἱσόρει
Εὐηλίνη, ξύμπαντα· χαρμονὴν ἅλυον·
Πρόφρων δέ τ' αἰτίζοιμι συζυγώμην, τέκνον,
Εἰ νῦν ὁ καιρὸς τ' παραπήσεως ἔφυ.
Ἄλις δ' ἔμοιγε· προσλαβὼν γάρ σ' ἥδομαι,
Εἰς κόλπον, εἴς τε κῦδος· οἶδα νῦν σαφῶς
Ὅτ' εἶς, Ἀραίραγ', ἄξιος Καρακτάκυ.
Τί γῶν δακρύεις, ὦ θεόσδοτον τέκος;
Αὐτὸς μὲν ἠδίκησέ σ', ἐδ' ἄρα θένει
Τιχὰν παρειὰν εἰσιδεῖν τλήμων πατήρ.
Πῶς δ' εὐλογήσομέν σε, φίλταϊον βροτῶν,
Ἀρχῆς τε, χ' δάμαρτος ἐστερημένος;
Μόνοις σε κινδύνοισι προσκαλεῖν ἔχω,

Εἰς

Εἰς πάντα δυσυχέστατ', εἰς δεσμὸς τυχόν·
Θάρσει δέ, θάρσει, τέκνον· ἡ ῥετὴ μένει.

ΑΡΑΙΡΑΓΟΣ.

Πατρῶν ἄεισε, δεινὸν ἐλθέτω κακόν·
Νικησάτω δόλος τε, Ϛ πανουργία·
Ὑβριζέτωσαν ἄνδρες· ἐν δεσμοῖσι γὰρ
Ψυχαὶ μιμήσιν ἐμφανῶς ἐλεύθεροι·
Οὔπω δ' ὄλωλεν ἐλπίς· ἔλπισον, πάτερ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Εὖ τῦτ' ἔλεξας, χ̓ πάνυ Βρεταννικῶς·
Ἑτοιμός εἰμι, τέκνον. — Εἰπέ μοι, γέρον,
Πῦ τὴν Δρυϊδικὴν εἰσορᾷν τάξιν χρέον;

ΧΟΡΟΣ.

Σπήλαια νῦν ἐξέλιπον, εὐγενὴς ἄναξ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἄγωμεν ἔν τάχιθ', ἵν' ὁπλώμεθα, παῖ.

ΧΟΡΟΣ.

Φέλινος, ὦ Καράκταχ', ἐν φύλακῃ μένει;

ΚΑΡΑΚΤΑΚΟΣ.

Φρᾶδος, γεραιέ ——

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Τῆς κακῆς, κακῆς φυγῆς.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τί τῦτ' ἔειπας; ἦκ' Ἀραίραγος πάρα;
Πέφυγε προδότης εἰς ἐπιχθεῖς Ἰτάλυς·
Ἀλλ' ἢ δωήσετ' ὠφελεῖν ἀνὴρ κακὸς,
Ἀρετῆς ἄμοιρος, ᾧ κεκόλλη), φρατῷ.
Νῦν, υἱὲ, συντάγωμεν ὁπλίτας τάχα·
Σεμνήν τε τῶνδ' ἔχοντες εὐλογίαν πατρῶν,
Ἔπειτα διαμαχώμεθ'· οἶδα γὰ, τέκνον,
Ὅτ' αὔριον φαεινὸν ἡλίυ σέλας
Ἢ καλλινίκυς ὄψετ', ἢ τεθνηκότας.

ΧΟΡΟΣ.

Ὤ μοι, νεᾶνι, πῶς ἐπείσθη φυγήν;

ΕΤΗΛΙΝΗ.

Λέγουσα, μέμψιν εἰς ἔμ' εἰσφέρειν δοκῶ.
Πάρος γὰ ὑμᾶς ἐγκελεύειν, ἔδραμον
Ἀναγγελοῦσα πατέρι τὴν παρυσίαν
Τὴ μὴ ξυναίμυ· τίς γὰρ οὐχ ἥδοιτ' ἔχειν
Ὁλωλόθ' υἱὸν αὖθις ἐν βραχίοσιν;

Ὡς

Ὡς δ' ἠρξάμην παλαιὰ κηρύσσειν λόγον,
Ἀραιράγε δὲ τοὔνομ' ὠνομάζετο,
Ὁ ξεῖνος εἰς ἄνοιξιν ὡρμήθη πτέρυξ,
Ἵν' ἐκφύγῃ τάχιστα τ' Καράκταχον.

ΧΟΡΟΣ.

Ἀλλ' ᾤ 'διωξε τὸν φυγόνθ' ὁ σὸς πατήρ;

ΕΥΘΑΙΝΗ.

Ἥκιστα, πρέσβυ· μεῖζον' εἶχε Φροντίδα·
Τὰ πάντα γὰρ τότ' ἤλπισεν, πάντ' ἔτρεμε.
Μόνον δὲ παιδὸς κάθοδον ἠσκάζετι,
Ἄλαλος ἔμεινεν, οὐδ' ἐδείκνυσεν χαράν·
Ὅταν δὲ τ' κίνδυνον ἤκουσεν τέκνου,
Ἀρετήν τε, κἄρτος θ', ὡς ἐδάκρυσεν πατήρ·
Ὡς τοῖς θεοῖσι χεῖρας ἦρε χαρμονῆς·
Τάχιστα δ' αὖ τὸν ξεῖνον ἐζήτησ' ἄναξ,
Ὅπῃ σκυθρωπῷ πᾶν πρεσκοπῶν πτέρυξ·
Ἀλλ' ὡς διῶξαι τ' κάκιστον ἤθελεν,
Ἐγὼ πατρὸς κατεῖχον εὐχωλαῖς πόδα·
Βέβηκε γὰρ φέλινος εἰς πυκνὰ δρυμά,
Ὅπου γε θαμνοῖς ἀσφαλῶς ἐκρύπτετο·

Εἰ

Εἰ δ' εὑρέθη, μῶν ἀξιόμαχος ἔπλετο
Πατὴρ γεραιὸς τῷδε τῷ νεανίᾳ;

ΧΟΡΟΣ.

Μηδὲν φοβηθῇς· οὔ σε μέμφομαι, τέκνον·
Εἴθ' οὐ φύγοιτ' ἄν· ἀλλά σοι πεποίθαμεν,
Οὐράνιε βασιλεῦ, κἀ πεποίθαμεν μάτῃσι.

ΗΛΙΔΟΥΡΟΣ, ΧΟΡΟΣ, ΕΥΗΛΙΝΗ, ΚΑΡΑΚΤΑΚΟΣ, ΑΡΑΙΡΑΓΟΣ.

ΗΛΙΔΟΥΡΟΣ.

Ω ΠΡΕΣΒΥ, πάντα νῦν τελεῖται θέσμια·
Σοί θ' ὗσαν πάρειμ', ἵν' ἐξ ἀμυμόνων
Ἐπίθεσιν ὡς τάχιστα προσλάβω χερῶν.

ΧΟΡΟΣ.

Ἔρρ', ὦ βροτῶν κατάρατε, δυσσεβέστατε.

ΗΛΙΔΟΥΡΟΣ.

Νὴ τῶν θεῶν ἄναστον——

ΧΟΡΟΣ.

Οὐδὲν ὄμνυθι·
Πέφευγ' ἀδελφὸς, πίστεως κριτήριον.

ΗΛΙΔΟΤΡΟΣ.

φεῦ, φεῦ, γεραιέ· —— πτηρεικῶς λέγεις τάδε;

ΧΟΡΟΣ.

Νεωστὶ πρὸς Ῥωμαῖον ἐξέφυγε στρατόν·
Τρέμεις, τρισθλί'; οὐκ ἀναιτίως τρέμεις.

ΗΛΙΔΟΤΡΟΣ.

Πῶς, ὦ φέλτατε, πῶς ἐτόλμησας λιπεῖν
Μέσοισι κινδύνοισι τὸν ξυναίμονα,
Σῆς, δύστλημ', ἐξολωλότ' ἐξ ἁμαρτάδος;

ΧΟΡΟΣ.

Ὄλωλας, Ἡλιδῶρε· νῦν σε χρὴ θανεῖν.

ΗΛΙΔΟΤΡΟΣ.

Τάχιστα κατθάνοιμι· τίπτε μίμνετε;
Ἀπάζομαί σε, θάνατε· χὐ προφρων λιπεῖν
Στυγνὸν γέγηθα βίοτον, εἰ ταυτῦν βιῶ.
Ἀλλ' ἐκ ἀληθινὸν τόδ' εἶναι φαίνεται,
Δεινὸν δ' ἐνυπνίου δοκῶ φάντασμ' ὁρᾶν.
Ἀθλιόν ἐστι τῶνδε φέγγος ἀστέρων,
Ὕλη τε, χὐ πάλαια· πάντ' ἀσώματα,
Τὸ μηδὲν ἐστι πάνθ', ὅραμ' ὁράματος.

Εἰ

Εἰ γῆν πέφυγας, πῶς ἔτ' ἠκαπημένος
Εἶς, ὦ ξύναιμε; τίπτε σ' ἐκ δόμων ἐγὼ;

ΧΟΡΟΣ.

Ἄξοργον ἦν ἀδελφὸν ἀ μισεῖς, ξένε;

ΗΛΙΔΟΤΡΟΣ.

Τυχὸν τόδ' ἔσαι· νῦν δ' ἄγαν ταράσσομαι, 1255
Τὰ δεά' ἀκούσας ῥήματ'· — ὦ δύσηνε παῖ,
Ἐθλὸς πέφυκας, πρίν σε Ῥωμαίους ἰδεῖν.
Κάσιν δὲ μοῖρα δυσυχεστάτη μένει,
Οὐδ' ἔστιν ἐλπὶς ὁρίμως μιάσορας
Ζίφει κολάζειν, τῆσδ' ἁμαρτίας ὕπερ. 1260
Σὺ δ', ὦ θεῶν δέσποινα, πέμψον Ἰτάλοις
Ταραγμὸν, ἄτιμον, θάνατον, αἰσχύνην, φόβον·
Οὔπω γὰρ ἀρετὴν ἔφθαρον ξυναίμονος.

ΧΟΡΟΣ.

Νῦν εἰς ὄλεθρον.

ΗΛΙΔΟΤΡΟΣ.

Ἔρχομαι σιγῇ, Δρυΐ·
Ἐπεὶ δὲ μηκέθ', ὥσπερ ὠόμην πάτε, 1265
Πιστὴ μαχαίρα τήνδε σώσω παρθένον,

Δός μοι, χεραιὲ, λίσσομαι, βραχὺν χρόνον,
Ὅτ' ὄσσε ἀνοσίως οὐρανόνδ' ἄιρων χέρας,
Θεῶν δέωμαι τῆδε τιὼ σωτηρίαν.
Οὗτοι γὰρ οἶδασ' ἁπλότητα καρδίας,
Κἂν ὑμὶν ἀσεβὴς, κ' κακόρραφος δοκῶ.

ΕΥΗΛΙΝΗ.

Αἰσχρὸν τὸ σιγᾶν, ταῦτά γ' ἀκροωμένῃ·
Ὦ πρέσβυ, πρέσβυ, πρὸς θεῶν σε λίσσομαι,
(Ἴτ', ὦ τρομώδεις καὶ γυναικεῖοι φόβοι)
Εὐηλίνην Καρακτάκου πικτέινετε·
Πρόφρων θάνοιμ' ἄν· τῆνδε μὴ φονεύσητε.

ΧΟΡΟΣ.

Αὐτῆ νιν ἀρετὴ σωσε, φιλτάτη κόρα·
Σὺ δ', Ἡλιδῆρε, καρτερῶς μαχέμμος
Τόδ' ἀντίδος χάρισμα. Νῦν δ' εἰς εὐσεβῆ
Ἔρχε καθαρμόν· τρίς σε νίπτομεν, ξένε,
Δροσωδέσ' ὑδῆς δακρύοις, σκήπτρῳ κάρα
Ἱερῷ θίγοντες· ἴθι νῦν εὐόλβιος,
Τίοῖσιν ἀρετῆς αὖθις ἐγλεγραμμένος.
Ὁρᾷς δὲ βωμῆ καπνὸν εὐαγῆς ἐκεῖ;
Βάσκ', ὦ γονῆ ἡωνᾶιε, προστόλων τ' ἄπο

Ξίφος

ξίφος τε, καὶ πάλληκα δαιδαλέαν λαοῖν,
Εὐηλίνῃ τ' ἄμυνε, καὶ τῇ πατρίδι.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἀλλ' εἶσιν, ὡς ἔοικεν, ἀνδρειώτατα
Ἱραὶ φάλαγγες, ὧν ἀτάρβητον κέαρ
Θεὸς φοβεῖται, καὶ νέρων γελᾷ μῦθος.
Εἰ δ' εὐγενῆ τὰ λείψαν' ἡρώων πατρῆν,
Οἱ νῦν ἐπ' ἄκρας καρτερῶς Σνωδωνίας
Τηρῶσι μικρὸν τ' ἐλευθερίας μέρος,
Πικρῶς μάθοιεν οἵγε Ῥωμαῖοι κύνες,
Καίπερ γε θῆν' ἀζημίως συλῶσ' ἁλός,
Ὅτ' ὄπτ' ἔμπης τλήσομεν Βρεττάννεοι
Βωμοὺς βεβηλώσαντας. — Εὖγέ μοι, Δρυΐ·
Στρατὸς μὲν ἔς' ἄριστος, ὥστε σημανεῖν
Τὴν ταξιάρχου πολεμικὴν ἐμπειρίαν·
Σοῦ δ' εὐδοκοῦντος, αὐτὸς ἐξηγήσομαι.

ΧΟΡΟΣ.

Ὅρα, Καράκταχ', ἀγλαὸν τόδε ξίφος,
Ὦ, πρὶν γίγαντας παντελῶς διέφθορε
Μέγας Βέλινος, κἠκάλει ΤΡΙΦΙΓΓΙΟΝ.
Δὴν ἐν μυχοῖσι τῆσδ' ἀκοιμήτῳ δρυός·

Οὐκ

Οὐκ εἰσορᾷς σίδηρον ἐκπέμπειν, ἄναξ,
Σπινθῆρας ἀγλαοὺς ἐρυθραίας πυρός;
Νῦν τιὼ θέαιναν προσκυνῶν, ἱρὸν λάβε
Δώρημ', ἀκούσας τῶνδ', ὅ σοι κελεύσομαι.
ΟΡΚΙΖΟΜΑΙ σε σεμνὸν ἡλίου κύκλον,
Καὶ τὰς ἀνωμάλους σεληναίας δρόμους.
Φανάς τε, δυνάμεις τ' ἀστέρων ἀνηρίθμων,
Εἴ τις δυώδεκ' ἰς ἔνεστι ζωδίοις,
Ταύτῃ μαχαίρᾳ τῇδε δρῦν φρυχεῖν, ἄναξ,
Ὅπου παλαιὸν εὗρε κοιμητήριον
Δῖος Ταραῖνις· τοῦτό σοι ποιητέον·
Ἐγὼ δ', ἑταῖροί τ', ἔνθα συμπονήσομεν.
Ἐν τῷ μεταξὺ προαστόλοις Ἀραίραγος
Ἡγήσεται πολεμόνδε· τοῖσι δ' ἕψεται
Τάχ' Ἠλιδῶρος.

ΚΑΡΑΚΤΑΚΟΣ.

Πάντ', ἄριστε πρεσβέων,
Γενήσεθ', ὥσπερ εἶπας· ἀλλὰ βέλτιον
Οὗτοι φυλάξω' οἱ νεανίαι θρύας,
Ὧν ἐνθ' ὑφ' ἥβης εὐθαλέστερον θένος.
Ἐγὼ μὲν ὃ τόδ' ἔργον ἐκ φόβου λιπῶν,

Πρόφρων

Πρόφρων γὰρ αἷμα τῶνδ' ἕναυτι δενδρέων
Χεύσω θεοῖσιν· ἀλλὰ γηράσκω, πάτερ·
Εἰ δ' αὐτὸς ἐν προμάχοισιν ἐκπέσω γέρων,
Τὸν παῖδα λείψομ', ὅστις εὖ δυήσεται
Βωμούς τε σώζειν, ἑστίαν τε δαιμόνων.

ΧΟΡΟΣ.

Οὐχ εἷός εἰμι σεμνὸν ἀναλαλεῖν ἔπος.

ΚΑΡΑΚΤΑΚΟΣ.

Εἶεν, γέροντες· ἀλλὰ μὴ νομίζετε,
Ὅτ' αὐτὸς ἐξ ἀπλημίας ἔλεγον τάδε.
Ἡ γὰρ πέποιθα τάσδε μείονι στρατῷ
Ῥωμαλίδας ῥῆϊστον εἰς φυγὴν τρέπειν,
Ἐχθρὰς ἀνάνδρους, οἱ κρυφαῖον ἤθελον
Τὸ δίκτυον τῷδ' ἀνδρὶ συμπλέξαι λάθρᾳ·
Πρὶν δ' ἁρπαγεῖν με τάσδε γ', ἐκδιδάξομαι
Ἀχαιτίοισι δεῖν με θηρεῦσαι σαφῶς,
Χαίτας πεφρικὸθ' ὥστερ ἐν δρυμοῖς κάπρον.
Ὦ θεοί, θελοίμην αὐτίκ' ἄρχειν μάχης.

ΧΟΡΟΣ.

Τὸν σὸν δὲ παῖδα τῆσδ' ὁρᾶν ἐκελεύσαμεν.

ΑΡΑΙΡΑΓΟΣ.

ΑΡΑΙΡΑΓΟΣ.

Ἥκουσα χαίρων, εὐλογῶ τ', ἄνδρες φίλοι,
Βυλὴν ἀρίστην, ἣ Καρακτάκυ κάρα
Κώλυεν εἰς κίνδυνον ὁρμᾶσθ' μάχης.
Ὦ τὸς ὀλύμπυ δεσπότ' ἐναλίων δόμυς,
Εἰ σόν γ' ἁρέσκω, δαῖμον, ὥστε μ' εὐτυχῶς
Τὸμὸν τελεῖν ἔργον, ἠσυχέσατος
Θάνοιμ' ἂν, ἐχθρὸς τόσδε νικήσας δορί.
Οὔκυν τιν' ἀγὼ μερίδα πρόσπεμψον νόυ,
Τεήν τ' ὄπαζε σωφρόνως εὐψυχίαν·
Δός μοι τὸ σωλεμεῖν, ἀλλ' ἐποικτείρειν ὁμῶς·
Δός μοι τὸ νικᾶν, σὺν θεοῖς μαχόμενω·
Τιμωρίαν θ' ἅπασαν ἐκ θυμὸ βαλεῖν,
Πάρος μάχαιραν ἐκ χερῶν νικηφόρον.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἄκυε, νῦν, ὕψιστε, Καρακτάκυ·
Ἄδυλον εἴ τι ῥέζα, καὶ περίσκοπον,
Ζητῶν ὀϊζυραῖσιν ἐν μάχαις κλέος·
Εἰ παρβέβηκα τ' φρονήσεως νόμυς,
Μὴ δῆτ' ὄλοιτο τῆς ἐμῆς ἁμαρτίας

Παῖς

Παῖς εὐγενής· ἐγὼ δ' ὅτ' εἰμὶ δύσκολος,
Ἀνήμερος, τολμηρὸς, αὐθάδης, θρασύς·
Ἀλλ' ὅμως ἔχε μειλιχώτερον νόον,
Ἔχοι γε δῆτα μειλιχωτέραν τύχην.

ΕΤΗΛΙΝΗ.

Ἐγὼ δὲ χεῖρας οὐρανόνδ' ἀναλκίδας
Αἴρουσα τλήμων, λίσσομαι, παντόκρατορ,
(Ἥτις δι' ἡμίσους τὰ σεπτὰ βίου
Βαρυσθένους ἔπαιχον ἐννάετις πόνους,
Λύπη τε, κινδύνοις τε, συγκυκλουμένη)
Ὄπαζε νῦν κάλλιστον εἰρήνης γέρας·
Ἀπόδος συναίμῳ τὸ σθένος νικηφόρον·
Ἂψ δ' ἐν θριάμβοις ὧδε σῶς νοστούτω
Ἕκαστος ἥρως.

ΗΛΙΔΟΤΡΟΣ.

Κλῦθι, παγκρατὴς Ἄναξ·
Εἰς Ἡλιοδῶρον ἐκτάθητω ῥήματα,
Ὅς αὐτὸς ἐ τόλμησεν, ἐ λύπης ὕπο,
Αἴρειν πρὸς οὐρανὸν πολυτλήμων κάρα.
Ἄλλως δὲ τοῦτ' αἰτοῦμαι, κινδύνου μάχης

Ἐμαυτὸν εὑρεῖν, ὥστε μ' ἐκπνεῦσαι βίον·
Ἅπαντες εἰς ἔμ', Ἰταλοί, συχάζεσθε
βέλη· κτανόντων εὐλογήσομαι χέρας,
Ἵν' αὐτάδελφος τῆσδε δίας παρθένου
Ἄβλαπτος, ἱμερόεσσαν εἰρήνην φέρῃ,
καὶ τὴν ξυναίμου καρδίαν πλήθῃ χαρᾶς.

ΧΟΡΟΣ.

Νῦν ἐξανίσασθ'· ὃς δ' ἐν οὐρανῷ κρατεῖ
Δαίμων, διδοίη τἀγάθ', ἃ ζητήσαμεν.
Ἰδὲ δ', ἀπ' αἴθρης ἠφανίζοντ' ἀστέρες,
Σκότος τε γῆν ἔκρυψεν αὐσταλέοις πέπλοις.
καὶ νῶν μεγίστῳ δείματ' αἴγε λαμπάδες
Πλήξουσιν ἐχθρὰς δυσμενῶς φλογιζόμεναι·
Ὅπλων τε κλαγγὴ, κἀλολυγμὸς ἀνέρων
Φερεκώδης ἔσται τ' μάχης προοίμιον·
Ἡμεῖς δ', ἀοιδοὶ, πολεμικὴν συμφωνίαν
Ἀείδεσθε ξύμπαντες, ἀρχαῖον μέλος,
Οὗ πρὶν κλύοντες οἱ πάλαι Βρετάννεοι,
Ἐνθουσιῶντες εἰς φυγὴν Ἰάλιον
Ἔτρεψαν· οὐδ' ἂν εὗρε νίκην ὕστερον
Εἰ μὴ λυρῳδῶν ἀρχὸν οὔτασεν δορί.

Νῦν

Νῦν δ', Ἠλιδῆρε, καὶ σὺ, παῖ Καρακτάκυ,
Ἐξελθέτ' εἰς ἀγῶνα· χὐμῖν σήμερον
Νίκην δίδοιεν εὐκλεεςάτην θεοί.
Σιγῇ δὲ πρῶτον εἰς λόφους ἐμβαίνετε,
Ἦχος δὲ τ' σάλπιγγος ἀκροώμενοι,
Ἐχθροῖς ἐπειασεσεῖσθε.

ΚΑΡΑΚΤΑΚΟΣ.

Χαῖρ', Ἀραίραγε,
Πατρὸς μέγιστον εὖχος, εὖ γένοιτό σοι.

ΕΥΗΛΙΝΗ.

Ὦ χαῖρ', ἀδελφὲ φίλτατ'. Ὦ ξεῖν' εὐγβνὴς,
Στῆθ' ἐν μάχαισι τῶδ' Ἀραιράγυ πάρα·
Ἦ γὰρ κραταιός ἐςι, καὶ μάλ' εὐτυχῶς
Τὴν σὴν πότ' ἀνταμέψεται πικρίαν.

ΗΜΙΧΟΡΟΣ.

Ἱροῖσι νῦν φύλλοισιν, ὦ θεοπρόπε,
Βωμὸν σκεπάζετ', ὀρθρινόν τ' ἀνάπτετε
Τὸ πῦρ. — Τί δ' ἐςι χρῆμα; τίπτ' ἀπὸ κλαδὸς
Φόρμιγγα Μάθωρ δεῦρ' ἐπαντύδει λαβών;

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἀλλ' ἔκσασίς νιν ἔλ'· ἀπαρρήξω στέφος
Πολίᾳ καρήνῳ· πανταχῇ δὲ δέρκομαι
Χαίτην λυθεῖσαν· λευκὰ δ' ἀμφίσματα
Σπάραξε· πλήρης θυμόν ἐστι δαίμονος.
Ὁμῶς δ' ἄφωνός ἐσιν· εἴφ', ὑμνηπόλε,
Τίπ' ἐτρόμησας; τίπτε χώραν αἰθέρος
Πολυδρόμοισιν ὄμμασιν ϖεισκοπεῖς;
Ἐνθυσιῶσι τί σέναξε καρδία; —

ΗΜΙΧΟΡΟΣ.

Ὦ Θάνατε . . . Θάνατε —

ΚΑΡΑΚΤΑΚΟΣ.

Τίπ' ἐκραύγασας, γέρον;

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

ΣΤΡΟΦΗ Α'.

ΗΜΙΧΟΡΟΣ.

Ἔα. — Ἀκούσατε βροντὴν
Χαλκοπόδος Θανάτοιο;
Ὠκυτάτως ἀΐσσων
Παρβέβηκε, κόρυθα
Φέρων ϖαμμέλαιναν·

Εἶδον

Εἶδον θώρηκ', εἶδον ἀσπί-
δ' — εἶδον ἀμείλιχον
Ἔγχος· ἐν δὲ χερὶ ξίφος
Μελάνδετον κράδηνε.

ΣΤΡΟΦΗ Β'.

" Δεινὸν εἰς ἀγῶνα
" Ἰμᾶς," ἔφη, " προσαίνω·
" Τῦτο δ' ὄχημα,
" (Ὄφρ' ἐπιβαίνω
" Ἄναξ τε, Θεός τε Βρεττανέων)
" Οὐρανόθεν ἐξέπεσε.
" Κυανοχαῖται δ' ἵπποι
" Ἐχρέμισαν· βρόντησε χαλκὸς,
" Σάλπιγξ τ' ἴαχεν ἄφθιτος.

ΣΤΡΟΦΗ Γ'.

" Μηκέτι μένος πυρετῦ
" Μὴ φοβεῖσθε, σύμμαχοι,
" Νόσε δυσαλθήτε λέχος,
" Ἐγὼ γὰρ ὲ τάδε δώσω·
" Πέμψω δὲ τοῖα πένθη
" Ῥαθύμες εἰς ἀνέρας,

" Λαὸν

" Λαὸν εἰς ἀναλκίδα κἄμαχον·
" Τυράννως δὲ σιδαρᾷ χερὶ δει-
" -λῶς ἀντιλάζονται ἐμοί γ' ὀπαδοί.

ΑΝΤΙΣΤΡΟΦΗ Α'.

" Ταινῦν δὲ, Φιλτάτοις παῖσι
" Δώσω λιπρεπὴς εὔχος·
" Ὑμέτερόν τε τόξον
" Τοῖς ἐμοῖσι βέλεσιν
5. " Ἐγὼν ὁπλιῶμαι.
" Ἐμπεύσω δ' ὑμῖν τὸ καρτος·
" Τόν τ' ἀγενῆ στρατὸν
" Ἰτάλων τάχα πέμψε
" Ἐνερτέραν ἐς αἶαν.

ΑΝΤΙΣΤΡΟΦΗ Β'.

" Τῶν μὲν ἂν ἀστόμων
" Ψυχαὶ φέρουσι κακὸν
" Ἄλγος, ἐπ' οἴσυς,
" Πὰρ ποταμοῖο
5. " Ῥοὴν κρυεροῖο πεπηγμέναι
" Δέσμαισι πολυπλεκέσιν.
" Ἔνθα δὲ κραυγάζουσι
" Δυσυχέες·

" Δυσυχέες ψυχὰς δ' ἐλευθέ-
" ρων εἰς εὐφροσύναν καλῶ.

ΑΝΤΙΣΤΡΟΦΗ Γ'.

" Τρίσμακαρ, ὃς ἐν πολέμῳ
" Καπτεσεῖ Βρετάννεος·
" Ἔγωγε, πάντων διαπότης,
" Πρὸς αὐτὸν ἃ χαλεπαίνω.
" Ἄλλην τάχιστα μορφὰν
" Τοίῳ δώσω πνεύματι·
" Γαυριῶν τ' ἐς αἰθέρ' ἀφίξεται,
" Ἵν' αὖθις δῖαν Ἐλευθερίαν
" Ζωᾷ τ' ἀγάλλῃ, θανάτῳ τ' ἀμύνῃ."

CARACTACUS APUD MONAM

ACTUS V.

ARGUMENTUM ACTUS QUINTI.

NUNCIUS ab ARVIRAGI exercitu veniens, CARACTACO et DRUIDIBUS exponit, quo modo hostes juvenis fugarât. EVELINA autem, quæ sola inter sylvam pererraverat, sonitu hostium perterrita advenit; dumque pater metum conatur dispellere, misera exoritur timoris confirmatio, accensis sacris arboribus. CARACTACUS, quo flamma ardebat, solus irruit. ARVIRAGUS intereà, sagittâ vulneratus, infertur; a quo CHORUS certior factus est, VELINUM aciem ROMANAM in binas partes divisisse; quarum altera a se ipso in fugam conjecta fuerat; altera sylvam incenderat.

SEQUITUR mors et eulogium ARVIRAGI; quod, AULO DIDIO adveniente, terminatur. Adducitur CARACTACUS vinctus, qui admirandam virtutem in hostes ostenderat, et VELINUM interfecerat. Luctus et lamentationes paternæ; quibus finem facit dux ROMANUS, et CARACTACUM, EVELINAM, ELIDURUM, captivos ad naves abducit.

DRUIDES patronam invocantes ANDRASTEN, oranteſque ne amplius tales sinat miserias sacram pacis sylvam invadere, claudunt Tragœdiam.

ΚΑΡΑΚΤΑΚΟΣ ΕΠΙ ΜΩΝΗ.

Ε΄.

ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΚΑΡΑΚΤΑΚΟΣ, ΕΥΗΛΙΝΗ.

ΙΑΜΒΟΙ.

ΧΟΡΟΣ.

Καὶ μὴν ἑώρακ' ἄγγελον πέλας τινα,
Πόδας τιθέντα δῦρο ταχυτάτῳ δρόμῳ.

ΑΓΓΕΛΟΣ.

Ὦ χαῖρε πρέσβυ, καὶ σὺ, Σιλύρων ἄναξ·
Προσαγγελῶ γὰρ ὑμὶν ἡδίστην τύχην·
Νικῶμεν ἐχθρὸς, καὶ τρόπαι' ἱδρύεται.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τὰ πάντα, φίλτατ' ἀνέρων, δέξον τάχα.

ΑΓΓΕΛΟΣ.

Σιγῇ τὸ πρῶτον εὐσεβεῖ, λόφος πότε
Προσήλθομεν βαθυσκίους, ὅπου λαθὲν

Ἐχθρῶν λόχησις· εἰ δὲ μηδὲν ἔκλυον·
Ἵππιά τε μηδαμῶς ὠρίνετο
Ἱροῖσι πέπλοις ἐγκεκρυμμένα πυρός.
Ὅπαν δὲ πρὸς ςενωπὸν ἄμφοδον λόφα
(Ὅπα τέθεικε Βρῦτος ἑξίαν πάλαι,)
Ἀνέβημεν, εὐθὺς ἐξεδέξαμεν φάος.
Τότ' αὖ θεαίνας ἤρξαμεν μυηρίων·
Πρῶτον δὲ τοῖς βωμοῖσι πῦρ ἐνεβάλλομεν,
Χόρος τε τ' θεοπρόπων παρσὰς φλογὶ
Πᾶν δεινὸν Ἰτάλοισιν ἠπείλει κακόν.
Ἡμεῖς δὲ φοβερὰν ᾠδομεν συμφωνίαν,
Πολεμικὰν ὑμηήσαντες ἀλλήλοις μέλος.
Ἐν τῷ μεταξὺ δ' ἐτρόμησ' ἔνερθε γῆ,
Βωμῶν τε σεῖσμ' ἐγίγνετ'· ἐν δὲ ταῖς ςίχαις
Τρέχουσιν ὦκα θέσκελαι προφητίδες,
Ἐσθῆσιν ὀρφνίαισιν ἠμφιεσμέναι,
Χαίτας ἄκοσμοί τ', ἐν δὲ χερσὶ λαμπάδας
Ἔγχη τ' ἔχουσαι· πρός τε Ῥωμαίων λόχον
Κραιπνῶς ἐπῄδων, θεῦ νοσοῦσιν ἐμμανεῖς.
Πρῶτον μὲν ἐχθροὶ ἦσαν ὡς τεθηπότες·
Θάμβος γὰρ εἶλεν· εἶτ' ἐτόλμησαν φέρειν
Φύλοπιν ἀηθῆ τ' γυναικείαν ὅπλων.

Αἱ δ' ἠλάλαζον, καὶ πεπώτιζον φυγῇ
Γυναῖκες ἄνδρας, ἐκ ἄνευ θεῶν τινος.
Ὅταν δὲ σάλπιγξ ἴαχ', ἄγγελος μάχης,
Ἐπεισπεσὼν σὺν ταραπάλοις Ἀραίραγος
Πόλεμον ἐποίησ' ἐκ ἄγαν δεινεκῆ·
Τάχ' ἐξέφυξε δειλὸς Ἰτάλων στρατός.

ΚΑΡΑΚΤΑΚΟΣ.

Καρακτακίζεις· εὖγέ μοι, γενναῖε πᾶ.

ΑΓΓΕΛΟΣ.

Τίός τε Καρτισμανδύας, ὁ σός θ' ὁμῦ,
Ὡσεὶ δύω λέοντε καρτερωτάτω
Μέγιστον ἐχθροῖς πάντοθ' ἤνεγκαν φόνον·
Φαίης θεόν τιν' ἔγχος εὐθύνειν χερί.
Νῦν δ' εἰς μελαίνας ἐπεδίωξαν ἐλκάδας
Φυγόντας Ἰτάλους· εὐρὺς δ' ἐραφαρὰς
Πὰρ θῖνα σεμνῶν λαμπάδας πεφυτίδων.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ὦ θεοὶ, τίς ὁ γηθήσεται, κλύων τάδε;
Ἀραίραγ', ἦτοι θυμὸς εὐφράνθη πατρὸς
Σῆς οὕνεκ' ἀρετῆς· ἀλλ' ἀναστρέφου, τέκνον,
Δέξαι τε πατέρα κόλπον εἰς ἡρωϊκόν.

Τίς δ' ἐκ Φάλαγγος δεῦρ' ἐπέρχεται, πέτρας;
Μῶν ἦλθεν υἱὸς εἰς πατρῴας ἀγκάλας;

ΑΓΓΕΛΟΣ.

Ἄγεσιν ἐνθάδ' Ἰτάλους δεσμωμένους.

ΧΟΡΟΣ.

Εἰσαγάγετ' εἰς αὐλαῖον, εἰσόκ' ἐκκαλῶ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἀλλ' εἶσιν ἡγητῆρες, ὦ θεοπρόπε·
Οὐκοῦν θέλοιμ' ἂν πῦρα προσφωνεῖν ἔπη.
Ἀκούετ', ἐχθροί. Δαιμόνων θελήματι
Ἡμεῖς βέβληθε πρὸς τὸ δεσμωτήριον·
Ἀλλ' αἰχμάλωτοί γ' ὄντες, οὐ δεδόσετε.
Ἡμᾶς καλεῖτε βαρβάρους· ἀλλ' οἴδαμεν
Ἀρετὴν σέβεσθαι, καὶ δικαιοσύνης νόμους.
Διὰ τοῦτο δεσμοὺς οὐ φοβήσετ' ἀγρίους,
Οὐκ ἐν θελάμοις γαυριάμαθ' ἅρμασιν
Ἕψεσθε χρυσοῦσιν, οὐδὲ διαπόταις
Ἡμεῖς πραθήσεσθ', ὥσπερ Ἰτάλων ἔθος.
Ἀλλ' οὐ δουλησόμεσθ' ἐλευθέρους ποιεῖν·
Τοῦτ' ἐμποδίζει πατρίδος τὸ σύμφερον·
Θεοῖσι δ' ὑμᾶς δωσόμεσθ' αἰωνίοις,

Ἐναντι

Ἐναντι βωμῶν αἰθόπων ἐσφαγμένης.
Ὅσις δὲ τοῖς θεοῖσι θῦμα γίγνεται,
Μορφὴν ἀμείνον', ὀλβιωτέραν τύχην
Αὐτῶν ἔχητι λήψετ'· ὧδε πείσεται
Τὸ δεινὸν ἄλγος ἐν κατωτέρᾳ χθονί.
Ψήφισμα τοῦτο δυσχερὲς νομίζετε;
Μέγιστός ἐστιν ἔλεος. Ὦ θεοὶ, θεοὶ,
Εἴ γ' αἰχμαλωτισθήσεται Καράκτακος,
Αὐτῷ τοιήνδε πρόφρονες ξυμφοράν
Ὀπάζετ'· ἤ τι βέλτερον δείσεται.
Ἀπαγάγετ' ἔνθεν· ἀλλὰ πρὶν κατακτανεῖν
Μὴ τόσδε γ' αἰκίζεσθε φῶτας, πρόσπολοι,
Ὡς ὑβρίσαιτ' ἂν Ἴταλος Βρετάννεον.
Οὗτοι, γέροντες, ἀρχὸς εἰ διεκφύγῃ,
Ὁλόκαυστόν εἰσι τοῖς θεοῖσιν ἀγλαόν.

ΕΤΗΛΙΝΗ.

Αἰ, αἴ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τίν' εἰσήκουσα κωκυτὸν, φίλοι;

ΕΤΗΛΙΝΗ.

Οἴ μοι ταλαίνης· πῇ πότ' εἶ, Καράκταχε;
Οἴ μοι μάλ' αὖθις· ὡς ταράσσομαι κέαρ.

ΚΑΡΑΚ-

ΚΑΡΑΚΤΑΚΟΣ.

Τί δ' ἐστιν, ὦ νεᾶνι; μὴ τάρβει, τέκνον.

ΕΥΗΛΙΝΗ.

Φεῦ, προδόθημεν ἄμμοροι· δεινὸν, πάτερ,
Πόδων ἐν ὕλαις ἔκλυον πολλῶν κτύπον,
Ὡς ἐπλανήθην θεοῖσι προσκυνεμένη.

ΚΑΡΑΚΤΑΚΟΣ.

Ματαῖόν ἐστι τοῦτο κἀτιδανὲν δέος.

ΕΥΗΛΙΝΗ.

Ἐγὼ δ' ἑώρακ' ὄβριμον δαλῶν φάος·
Κόρυθες δ' ἔλαμπον ἀγλααὶ, χ' ὑφάσματα
Στίλβοντ' ἔδειξαν ἄνδρες ἐξωπλισμένοι.

ΚΑΡΑΚΤΑΚΟΣ.

Κενοὶ δὲ πάντες οἱ γυναικεῖοι φόβοι.

ΕΥΗΛΙΝΗ.

Πρὸς ταῦτα, προδότιν ἔκλυον κεκραγότα·
"Νῦν ἐγγύς ἐσμεν· πῦρ φλογωδὲς οἴσετε,
"Μάχην τ' ἀολλεῖς ὄρνυτ', ἄνδρες Ἰταλοι."

ΚΑΡΑΚΤΑΚΟΣ.

Οὐκ ἔστιν, ἐκ ἔς· ἀλλὰ φαντάζῃ, κόρα,
Τρέμουσ',

Τρέμω σ', ἁμαυρὰ σώματ', ἐκ ἀληθινά.
Ἐχθροὺς ἐνίκησ' εὐγενὴς Ἀραίραγος.
Οὐκοῦν ἐπίφθονον ἡσυχάζω, Φιλτάτη,
Ψυχήν· γένοιό θ' ὡς παναυγὴς ἥλιος,
Ὃς νῦν ἀγάλλει λαμπρὸς ἡρῶας φάει.

ΧΟΡΟΣ.

Καλεῖς γε τοῦτο φέγγος ἡλίου, τάλαν;
Ἰοῦ, ἰοῦ, δύσηνε· τῶν ὀπιστάτιν
Ὕφηψεν ὕλην. Σάλπιγον τάχις', ἄνερ,
Ἀραίραγον μεταπέμψον· ὀλλύμεσθα γάρ.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τί φής; ὄλωλεν, ὦ γεραί, εὐψυχία;
Οὐκ ἔστι πρόφρων ὧδ' ἄναξ Καράκταχος;
Οὐκ ἔστιν ἐν παλάμαισι θεόδοτον ξίφος;
Ἀλλ' εἰς ἀγῶνα — Τίς θέλει καλῶς θανεῖν;
Ἑπεσθέ μοι τάχιστα· τίς θέλει θανεῖν;

ΕΤΗΑΙΝΗ.

Μὴ πρὸς θεῶν φοίτησον εἰς μάχην μόνος·
Οὕτως, γέροντες, τόνδ' ἐάσατ' ἐκθορεῖν·
Τί σοι γένοιτο, τῶδ' ἀπεστερημένη,
Ἀνάδελφος, ἄφιλος, καὶ πάτωρ, Εὐηλίνη;

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Αἲ, αἲ, γεραιοὶ, σώζεθ' ἑσίαν θεῶν.
Οὐκ ἔς' ὄλωλε Μῶνα. — Θεοὶ δηλήμονες,
Ἀπολείπεθ' ἡμᾶς, Ἰτάλοις ἀρήγετε.
Οἵ μοι, τί νῦν ἐσεῖδον; ὦ δύσηνε παῖ,
Τὸν αἱματοσαγῆ ζυναίμον' εἰσορᾷς;

ΑΡΑΙΡΑΓΟΣ, ΕΥΗΛΙΝΗ, ΧΟΡΟΣ, ΗΛΙΔΟΥΡΟΣ.

ΑΡΑΙΡΑΓΟΣ.

Καλῶς ἔπραξας, φίλε σύμμαχ', ὕσατον
Χάρισμα· καί μ' ἤνεγκας εἰς αὐτὸν τόπον,
Ὅπῃ μάλισα κατθανεῖν ἐβουλόμην.
Ἀλλ' ἀτρέμας μέθες με· κοὐ γὰρ ζῆν ἔτι
Θέλω, πατρῴας εἰσόκ' εὐλογίας τύχω,
Ἠδ' ἐν ζυναίμῳ χερσὶν ἐκπνεύσω βίον.
Αὐτὴ δὲ, φιμωθεῖσα δακρύων ὕπο,
Παρίσα'· μὴ κλαῖε, φιλτάτη κόρα,
Κἂν ἦ θανάσιμον συγγόνῳ βέλος τόδε.

ΕΥΗΛΙΝΗ.

Τί φῂς, ὄμαιμε; μῶν ἀληθινῶς ἔχεις
Τὸ σῆθος ἰῷ μορσίμῳ βεβλημένον;

Καὶ

Καὶ δεῖ με δυσάλαιναν εἰσορᾶν τάδε;
Ἰατρικοὶ γέροντες, ἀλλ' ἀκέσματα
Ὑμεῖς κάτισχε· ὦ πότ' ἐστὶ φάρμακα
Ὀδυνήφατ'; ἐκμυζήσειθ' αἷμα, φίλτατοι,
Ἐξέλκειθ' ὡς τάχιστα δύσηνον βέλος.
Εἰ τοῦτο, τοῦτο δράσετ'— Οὐκ ἀπόκρισιν
Κλύω· πέφευγεν ἐλπίς· ὦ τλήμων ἐγώ.
Ὅμως ἀκούετ' ἄλλο νῦν αἰτουμένης·
Κἀμοὶ διδόσθω φάρμακόν τι, λίσσομαι,
Καρῶδες· ὄφρα τῶνδε παύσωμαι πόνων
Συγκατθανοῦσα φιλτάτῳ ξυναίμονι.

ΑΡΑΙΡΑΓΟΣ.

Μὴ δῆτ', ἀδελφὴ, τοιάδ' ἐκφρόνως θρόει·
Αἰδοῦ δὲ γῆρας ἄθλιον Καρακτάκυ.

ΕΥΗΛΙΝΗ.

Οὐκ ἔστιν, οὐκ ἔσθ' ἡμὶν, ὦ τάλαν, πατήρ·
Εἰ δ' ὁ τέθνηκεν, αἰσχμάλωτός ἐσθ' ὅμως.

ΑΡΑΙΡΑΓΟΣ.

Πλέον με τοῦτο τοῦδε τραύματος δάκνει·
Ἀλλ', ὦ γεραιοὶ, πῶς τάδ' ἔπαθε; Φράζετε.

Ο ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Μόνον τόδ' ἴδμεν, ὅτι βέβηχ' ὁ σὸς πατὴρ
Ἐχθρὸς ἐρευνῶν, ὧν στρατὸς πρὸς ἀντολὴν
Λάθρη 'πιβαίνων, δένδρ' ὑπέπρησεν πυρί.

ΑΡΑΙΡΑΓΟΣ.

Ὦ τλῆμον, ἐξέπνευσας ὄν, Καράκταπε, 1625
Ἢ νῦν σιδηρέοισιν ἐν δεσμοῖς μένεις.
Δόλῳ γὰρ ὀψιαίτατ', εὐγενὴς Δρυΐ,
Ἡλώμεθ'· ἐς πρὸς ἥμισυν Ῥώμης στρατὸν
Ἡμεῖς ἐμαρνάμεσθα.

ΧΟΡΟΣ.

Πῶς τάδ' ἦν, τέκνον;

ΑΡΑΙΡΑΓΟΣ.

Ἕτερον στράτευμα δεῦρ' ὁ προδότης εἰσάγει 1630
Φέλινος· ἀλλά σ' οὐκ ἀποθλίβειν θέλω,
Ὦ φίλτατ' ἀνδρῶν· τοιγαροῦν σιγήσομαι.

ΗΛΙΔΟΤΡΟΣ.

Πήξω μάχαιραν αὐτὸς, ἣ τομωτάτη
Γένοιτ' ἂν, εὐθὺς ἐκπεσὼν τ' αὐτοσφαγής·
Τίς γὰρ βιοίη τοῖσδε κυκλωθεὶς κακοῖς; 1635

ΑΡΑΙΡΑΓΟΣ.

ΑΡΑΙΡΑΓΟΣ.

Τί φής; τί δ', Ἠλιδῶρε, πιήσειν θέλεις;
Οὐχ εἰσορᾷς με καταθανόντ'; οὐκ εἰσορᾷς
Τὴν ἀθλίαν τε, κ᾽ τάλαιναν παρθένον;
Αὐτῇ δὲ νῦν Ῥώμηνδε προαπορευτέον,
Οὐδ' ἐς' ἀδελφὸς, τ' πόνων θελκτήριον. 1640
Ἄκυε· καίπερ σ' σε δελδύσειν θέλω,
Οἶκτος δέ μ' εἷλεν αἰχμαλωτίδος κόρας.

ΗΛΙΔΟΤΡΟΣ.

Οὐκ ἔστι τοιάδ' ἀντερεῖν, Ἀραίραγε·
Ἐγὼ μὲν αὐτῆς ἕνεκ' ἀλγεινὸν βίον
Τλήσω πρόθυμος ——

ΕΤΗΛΙΝΗ.

Ζῆν ἐχρῆν σ', ὦ σύγγονε· 1645
Πῶς γὰρ βιώην σῆς ἑταιρίας ἄτερ;

ΗΛΙΔΟΤΡΟΣ.

Ἀλλ', ὦ γεραιοὶ, πεύσατ'· — εἶα, Φεύγετε,
Ἀπελθέτ' εἰς πήλαια· μηδὲ μίμνετε
Ἡμεῖς ἀνόσιον Ἰτάλων παρουσίαν.

ΧΟΡΟΣ.

Ἀλλ' ἐλθέτωσαν· ὅ τί μοι τρομητέον· 1650

Ὅσις γὰρ ἔνθα τοῖς θεοῖς ὑπηρετεῖ
Οὐκ ἐκφοβεῖται τὴν ἐφυβρισῶν βίαν.
Ξύνοιδ' ὅτ' εἰμ' ἄοπλος, ἀσθενὴς, γέρων·
Δώσουσι δ' ἱροὶ δαίμονες σωτηρίαν,
Ἀρετή τ' ὀρέξει ἀρραγῆ πανοπλίαν.
Τί γὰν δυνήσετ' Ἰταλον μένος πιεῖν;

ΑΡΑΙΡΑΓΟΣ.

Κεκαρτέρηται τἀμὰ δ' — Ὦ θεοπρόπει,
Εἰ τοῦτο σώζειν ἐκ μιάσματος δέμας
Σθένοιτ' ἂν, ἐκσαώσατ', ἐνταφιάζετε.
Μαχέμενον γὰρ, (φεῦ μάτην μαχέμενον)
Πρὸ τῶνδε δένδρων, τίς με τηλεθῶσα δρῦς
Κρύψει θανόντα πτηνία τυχὸν σκιᾷ.
Καὶ δὴ τελεῖται πάντα· κἀδδ' ὅστε σκότος
Ἐκάλυψ'· ὄλωλα — χαῖρε . . . χαῖρ' . . Εὐηλίνη —

ΗΛΙΔΟΤΡΟΣ.

Ἀλλ' ἡ τάλαινα κατέπεσ' —

ΕΥΗΛΙΝΗ.

Ὦ μοι σύγγονε,
Ὄλωλας ἤδη· ἐγὼ δὲ ἠθόμην ἐγὼ
Φυγὴν πέρωτε πνεύματος· πρὶν δ' ἐκφύγειν

" Ἐρρωσο

"Ἐῤῥωσο . . χαῖρε, Φιλπάτη," προσήνεπε.
Μὴ δῆτα, πρέσβεις, τῶδ' ἀποπαύσαιτέ με,
Καίπερ θανόντος· ὃ γάρ ἐς Εἰηλίνης
Ἄξυγον ἦτορ· ὧδ', ὅταν σοι μείλιχοι
Δώσωσι μορφὴν ὀλβιωτέραν θεοὶ,
Ἕξεις ἀδελφὴν τῆσδε φιλτέραν.

ΧΟΡΟΣ.

Κυκλῶτε νῦν, γέροντες, ἡρῷον δέμας·
Πάρος δ' ἱκάνειν Ἰτάλης, Ἀραίραγον
Καλῶς θανόντα κλείεθ' ἱροῖς ἄσμασι.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Καίπερ ὄλεθρον ὕλᾳ
Ῥωμαίῳ αἰετὸς ἀπειλεῖ,
Πανυστάτᾳ δ' ἐν ὥρᾳ
Δίας ἐλαθηρίας,
Πολλῶν λυκαβάντων ἀνταξίᾳ,
Σὲ, φίλτατ' ἀνδρῶν, σόν τε κῦδος
Γλυκυθρόοις ἐγκωμίοις
Κλείομες, κλείομες.
Αἰώνιος δὲ Φόρμιγξ
Ἄτις παρῴδα θρόνοις

Ποτνίας

Ποτνίας. Ἀνδράσας,
Αὐτόματον ἰάλλει ἄχθος,
Μόνα δυνήσετ' αἶνον
Ἀραιράγε καλῶς θανόντος,
Ἀραιράγε καλῶς θανόντος,
Εἰς μέγαν ὄρανὸν ἄϊρειν.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ, ΧΟΡΟΣ, ΗΛΙΔΟΥΡΟΣ, ΕΥΗΛΙΝΗ, ΕΞΑΓΓΕΛΟΣ, ΚΑΡΑΚΤΑΚΟΣ.

ΙΑΜΒΟΙ.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Τοις αἱματώδες' ἐννέπω θεοπρόποις
Λήγειν τάχιστα τῶνδε τ̃ μυςηρίων,
Ποιεῖν τ' ἀπόδοσιν τ̃ ἐμῶν ὑπηρετῶν.
Οὐ γὰρ θεοῖσι βαρβάροις χρήσεται
Ῥωμαῖον αἷμα τῶνδ' ἱλαςήριον.
Ἡμεῖς ἀπάσης τῖσεως ἐξυσίαν
Ἅπασι δίδομεν· εἰ δὲ μὴ, κεκρυμμένην
Φόωσδ' ἄγοιμ' ἂν δυσεβῆ λειτυργίαν,
Βωμούς τ' ἀναστρέφοιμ' ἄν, ἐξαιρούμενος
Δύσμορφα τῶνδε δαιμόνων ἐνδάλματα.

ΧΟΡΟΣ.

ΧΟΡΟΣ.

Ὦ τᾶ κακᾶ κάκιστε δᾶλε Καίσαρος,
Ἔπαυσας ἤδη τ' πικρᾶς βλασφημίας;
Κατάρατος ἦν γένοιο, Ϛ δυσάμμορος.
Αὐτοὶ δὲ μοῖραν ἀθλιωτάτην θεοὶ
Διδοίαθ', οὓς σὺ λοιδορεῖς ἀλαζόνως.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Ταύτην καταφρονεῦντί γ' ἐξαυδᾶς ἀρήν.
Ἀπελθέτ', ἄνδρες, ὡς τάχιστα, συμμάχους
Ἐλευθερῶτε τῶνδε βαρβάρων ἄπο,
Ἀλλ' ὐκ ἀποκτενεῖτε τὸν Καράκταχον.
Τὸν δ' Ἠλιδῶρον δέσμασιν πελωρίοις
Βαρύνετ', εἰσόκεν θέλημα Καίσαρος
Γνοίην, τί δεῖ παθεῖν νιν ἕνεκ' αἰτίας.

ΗΛΙΔΟΤΡΟΣ.

Ἕτοιμός εἰμι γαυρίαν ἐπ' αἰτίας.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Εἶπας, ὑψίκομπε παῖ; —— Φυλάττετε
Μελέτῃ προσηνεῖ τὴν τάλαιναν παρθένον,
Ἥτις νοτίζῃ τᾶτο νεοθανὲς δέμας.

ΕΥΗΛΙΝΗ.

ΕΤΗΛΙΝΗ.

Ἐρῦ, ὦ σιδήροφρον στρατηγέ· μηδαμῶς
Γενναῖον εἰσφορήσετ' εἰς Ῥώμην κάσιν.
Αὐτὸς γὰρ, ὃν μιαίνετ', ἦν Ἀραίραγος,
Μέγιστον εὖχος τῆσδε γῆς Βρεττανίας,
Καρακτάκυ γέννημα, κὐ τυχὼν ἀνήρ.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Μηδὲν τρέσῃς, ἄναστα· κ᾽ γὰρ Ἰταλοὶ
Τιμῶσιν ἐχθρῶν σώματ' εὖ τεθνηκότων.

ΧΟΡΟΣ.

Τί γῦν βαρύνετ', ὦ μιαιφονώτατοι,
Δεσμοῖσιν αὐτὸς, οἷς ἐλεύθεραν θεοὶ
Τύχην ἔδωκαν;

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Οὐκ ἀπάνθρωποι σφαγεῖς
Ἡμεῖς μαχόμεθ', ἀλλὰ παιδὸς θηρῶν.

ΧΟΡΟΣ.

Οὐκ ἄξιόν σε τ' ἐμῶν οἶμαι λόγων·
Λέξον τάχιστα τῦθ', ὅ μοι παθητέον.

ΑΤΛΟΣ

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Καὶ μὴν ἀκύσας εὐχαριςήσεις, γέρον·
Ἅπαξ γὰρ ὑμᾶς λύσομ' ἐκ ποινημάτων
Προδόντας ἡμῖν εὐθέως Καράκταχον.
Εἰ δ' αὖθις ἐχθροῖς Κλαυδίᾳ παρήγατε,
Ἱερὰ πεσεῖται δένδρα, λαΐνας δόμους
Περιςέγοντα δασκίῳ σκεπάσματι.

ΧΟΡΟΣ.

Ἀλλ' ἐκμαραινέσθωσαν, εἴγε δυσυχῆ
Ἀρετὴν ςερῶσι τῆς φιλανθρώπου σκιᾶς.

ΕΞΑΓΓΕΛΟΣ.

Αἰ, αἰ, γέροντες· αἰχμάλωτον ἤγαγεν
Ἡ τάξις ἐχθρῶν εὐγμῆ Καράκταχον.
Ἐγέλασας, ὦ Ῥωμαῖε; μὴ νόμιζ', ὅτι
Δεῦρ' ἵξετ' ἀνὴρ ῥᾳδίως εἰλημμένος.
Πολλὰς ἔπεφνεν Ἰτάλας Δαπρεπεῖς·
Καὶ τὸν Φέλινον τοῖσι συγκατέκτανεν,
Αἰσχρόν τε ποσθότιλλον, ἢ δόλων σημάντορα.
Καὶ γὰρ θορήσας ἔνθ', ὅπου κυκλούμενος
Ἀνηρίθμοισιν Ἰτάλοις ἐκρύπτετο,

Στέρνον τε παίσας τῆ μιάσορος, βοᾷ·
" Σοὶ τοῦτο πέμπω, θεὰ Δικαιοσύνη, γέρας,
" Πανύσατον δώρημα." Τοῦτο δ' ἐννέπων
Ἔπεσεν, πιεθεὶς μυρίοις ἐναντίοις.
Ξίφος μὲν ἱρὸν ἐκ παλαιπώρου χερὸς
Ἐγὼν ἑώρακ' ἐσπαραγμένον βίᾳ·
Δεινὸν δ' ὅραμ' ἔβλεψ', ὃ νῦν προσείδετε,
Αὐτὸν βαρυθέντ' ἀγρίοις δεσμώμασι.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τί κεφαλὰ δέσματ', ἄνδρες Ἰταλοί, φέρω;
Μῶν οἴεθ', ὅτι τὸ χεῖρας ἀλκὴν εἵλετο,
Ὡς μ' ἐ δύναθαι μεῖζον ὑπομένειν βάρος;
Ποιεῖτε πεῖραν· οἷος εἰμὶ βασάνῳ
Σειρᾶς μέγιστον, μὴ φοβεῖσθε, φόρτιον.
Σὲ καλλίνικον ὄντα, χὐψηλαύχενα,
Θέλοιμ' ἂν εἰπεῖν, εἰ σύ μ' ἀθενέστερον
Ταινῦν νομίζεις ἧ πάλαι Καρακτάκε,
Ὃν πολλάκις τε, κοὐχ ἅπαξ, ἐθαύμασας
Ἡγούμενον φάλαγξιν εἰς μάχης κλέος;
Κἂν ἦ τὸ σῶμα δέσμασιν δεσμούμενον,
Ψυχὴ δ', ἔτ' ὄσ' ἐλευθέρα, καταφρονεῖ

Τῶν

Τῶν σῶν ἀπειλῶν. — φεῦ — τί νῦν δυσάμμορος
Ὁρῶ θέαμα; — ναὶ, μεγαθενεῖς θεοὶ,
Τόλμησα τλήμων ἀνταγωνίζεσθ' ἔτι,
Ταῦν δὲ πάντα καρτερήσω, δαίμονες,
Κακῶν τοιῶνδ' οἰσρήμαθ', ὥς με χρὴ φέρειν·
Θυμὸς δὲ ταύτῃ ξυμφορᾷ νικώμενος
Ἀθλιος ἔξει, σώματ' ἐν δόλῳ μένων.

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Μήτοι πθύμει· χ̣ γὰρ ὄντα δυσμενῆ
Ἐποικτερεῖ σε Καῖσαρ, ἡρώων Φίλος —

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἐποικτερεῖ; δυνήσετ' ἦν ἐποικτερεῖν
Ῥωμαῖος ἀνήρ; εἰ δέ πω δυνήσεται,
Πῶς σμικρὸν ἔλεον τλήσομεν Βρετάννεοι; —
Σὲ, τέκνον, οἶομ' εὐτυχεστάτως ἔχειν,
Σὺ γὰρ πέφευγας τόσδ' ἐποικίλμὰς θανών.
Σὺ, φίλτατ' ἦρως, ἀντὶ τῶνδε τ̃ κακῶν
Τιμὰς ἀγαυὰς ἐν Βρεττανέᾳ χθονὶ
Ἔξεις· τὸ σὸν δὲ σῶμα λάασιν καλοῖς
Σπεύσυσ' ἀγάλλειν εὐσεβεῖς νεώτεροι·

Ἐμοὶ δ' ἄδοξον γαυριῶντες Ἰταλοὶ
Δώσουσι τύμβον ——

ΑΥΛΟΣ ΔΕΙΔΙΟΣ.

Νῦν, ἄναξ, πορευτέον·
Καλεῖ γὰρ ἡμᾶς εὐμαρὴς νότου πνοὴ,
Ἥτις τινάσσει λεπτὸν ἱστίον νεῶς.

ΚΑΡΑΚΤΑΚΟΣ.

Τί γῆν, ἀνηλεέστατ'; οὐκ ἔξεσί μοι
Παύροισι τέγγειν σῶμα τέκνου δακρύοις;
Τυτθὸς γένοιτ' ἂν ἐκτενέστατος βίος
Τοίοισιν ἐν πόνοισι διατελούμενος.
Κακῶς ὄλοιο, νηλέως ὀπιφθονῶν
Μίαν δι' ὥραν τῇδε δύσηνον χαράν.
Ἀλλ' εἶεν. — Ἡμεῖς, οἶδα, Ῥωμαῖοι πατέρες,
Οὐ δάκρυ' ἔσθετ' ἐσερημένοι τέκνων,
Ἥρωες· ἡμεῖς κλαίομεν Βρεττάννεοι·
Πατέρα πατρῷον δ' ἀτιμάζει δάκρυ.
Ναὶ, δυσυχὴς Ἀραίραγ', ἐμπεσὼν ὅπλοις
Τὸ σὸν γε πῶμα δακρυχέει τλήμων πατὴρ,
Πολίτου καρήνου δύσμορος τίλλων κόμην,

Δειλαῖα

Δειλαῖα γήρως λείψαν', ἐτιδανὴν χάριν.
Ὦ παῖ, σὺ πολλὰ σκῆπτρ' ἂν ἀμφέποις λεὼ
Ὡς οἱ πάροιθε πατέρες· ἀλλ' ἐγὼ τάλας
Δίας χάλινον ἔρραγον Φρονήσεως
Τολμηρός· ἄλλως οἵγε Ῥωμαῖοι, πέδας
Οἱ νῦν πικρῶς τιθεῖσιν, ἥδοιντ' ἂν τυχὸν
Σπονδάς τε ποιεῖν, κἀμὲ προσφωνεῖν φίλον.

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Σὺ δ' εἰσιεὶ σκυθρωπὸς, αὐθάδης τ' ἔφυς,
Καταφρονήσας Ἰτάλων ὁμιλίας.

ΚΑΡΑΚΤΑΚΟΣ.

Εἶχον γὰρ ὅπλα, πολλὸν, ἵππους, ἅρματα,
Δύναμίν τ' ἀγαυὴν, κ) Βρεταννέων κρατῶν.
Θαυμαστὸν ἐστιν, εἴγε σώζειν ἤθελον
Τοιαῦτα; Καῖσαρ εἰ θέλει πάντων κρατεῖν,
Πᾶσίν τ' ἀνάσσειν, πλημόνως ὑπείξομεν;

ΑΤΛΟΣ ΔΕΙΔΙΟΣ.

Μάρτυρ ἐναργὴς μοῖρα Καρακτάκυ.
Τάχιον εἰ δ' ἔληξας ἀχρήστυ μάχης —

ΚΑΡΑΚ-

ΚΑΡΑΚΤΑΚΟΣ.

Ἴθ', ὦ ματαῖε, καὶπὶ γέναθ' ἑμπίσω,
Ἴθ', εὐχαρίσει θεοῖσιν, ἐκ εἶναι τάδε.
Σμικρὸν γένοιτ' ἂν, ἄνερ, ἐὔχος Κλαυδίκε,
Εἴ μ' εὐχερῶς τε, κἀ πάνυ νικήσατο.
Νῦν δ', ὡς τοσῦτον ἀνταγωνίζεθ' ἕτλην,
Τύχῃ βαρείᾳ δυσπάτμως ἠπωμόθην
Ἄνακτι χρήθω Καῖσαρ, ὥσπερ οἱ δοκεῖ.
Εἴ μ' αἰκίσαι βέλοιτο, τῦτο ῥᾳδίως
Πρᾶξαι δυνήσετ', ἄθλιόν θ' ὑβρισμένην
Νῦν τοῖσδέ γ' ἀτλήτοισιν ἠμιθανῆ κακοῖς.
Εἰ δ' αὖ πρὸς αἰχμάλωτον εὐποίκως ἔχῃ
Πρᾷός τ' ἀκούσῃ, ὦ φιλάνθρωπες τυχὸν
Ἐν ἄσμασ' Ἰτάλοισιν ἰσορήμενος,
Κἀμπεῦθεν ἕξει δόξαν· ἐκ ἐμοὶ μέλει.
Φρόδη γὰρ ἐλπὶς δυσνυχῶς Καρακτάκυ
Ἀφ' ἧ ξεπέμφθη τῦτο κατάσκοπον βέλος.
Ὦ μοι τάλαινα θυγάτερ, ὀρθῶσον δέμας.
Σὺ δ' εἰ βαρυθεὶς δέσμασιν σιδηρέοις,
Ὦ τλῆμον Ἠλιδῶρε; γίγνῦ δ' ὕστερον
Υἱός τ' ἔμοιγε, θ' τ' ἀμύντωρ παρθένυ.

Νῦν

Νῦν χερσὶν ὑμᾶς ἀθλίαισι λαμβάνω·
Ῥώμηνδε, Ῥώμηνδ' εἰσπορεύτεον, τέκνα.
Κλεῖσον δὲ πηγὰς δακρύων, Εὐηλίνη,
Ἕως ἂν βλέπωμεν τὴν ἄνολβον μητέρα,
Δυσάθλιόν τ' ἄρχωμεν ἱστορίαν λέγειν.
Λέγειν ξενισμὸν, ὅνπερ ἔνθ' εὑρήκαμεν
Νίκην λέγειν δόλῳ τε, Ϛ παινργίας·
Λέγειν, ὅθ' ἡμῶν ἕνεκ' εὐγλὲς τέκνον
Γενναῖον αἷμ' ἔχευε — μῶν δυνήσεται
Ζῆν ἡ τάλαινα μέχρι τέρμονος λόγων;
Ὦ θεοὶ, τί ταῦτα ῥήματ' ἐξαυδῶ μάτην;
Τί γῆρας αἰνόν ἐς' ἀεὶ λαλητικόν;
Σιγῶ δὲ, σιγῶ. Χαίρετ' ἄνδρες φίλτατοι·
Νὺν ὕστατόν σε προσβλέπω, τλῆμον τέκος —
Ἀλλ' ἄγετέ μ' αἰχμάλωσιν εἰς αἰώνιον.

ΑΝΑΠΑΙΣΤΟΙ.

ΧΟΡΟΣ.

Ὦ πότνι' Ἀνδράση, μηκέτ', ἄναστ',
Ὦ μηκέτι τῦτ' ἀτύχημά μ' ὁρᾶν
Γυρώματ' ἐν ἱρῷ ποτ' ἐάσῃς.

Νυν

Νῦν γὰρ, νῦν μοῖραν ἀπηνῆ
Βέλτιστος ἔπαιχ' ἥρως, παναπτ-
μος ἄναξ, γλυκερᾶς ἕνεκα πάτρας.
Τί γὰρ ἂν μεῖζον τῶδ' ἔτι θνατοῖς
Πάθος ἐξεύροις,
Ἢ πατρίδα, τέκνα τ' ὀλέσθαι;

ΤΕΛΟΣ.

CARACTACUS

APUD

MONAM.

ARGUMENTUM.

CARACTACUS, rex SILURUM, ab OSTORIO, exercitûs ROMANI præfecto devictus, uxore GUIDERIA captâ, et ARVIRAGO filio vel interfecto, ut existimabatur, vel in fugam ab hostibus conversо, cum filiâ EVELINA discessit, et asylum petiit apud DRUIDAS MONENSES. OSTORIUS autem copias duxit ad partem BRITANNIÆ Septentrionalem, et terram BRIGANTUM vastavit, ubi regnum tenebat CARTISMANDUA. Illa vero, hostes metuens, fœdera cum duce confirmabat, quibus se obstrinxit ROMANIS etiam opitulari contra CARACTACUM, ut, captus, triumphum CLAUDII decoraret. Idcirco filios, VELINUM et ELIDURUM, obsides OSTORIO tradit; eâ lege, ut, ni regem ab asylo abducerent, ipsi ROMAM vincti adferrentur. Mittit vero dux ROMANUS cum illis cohortis præfectum quendam, AULUM DIDIUM, et copias operi perficiendo idoneas. Circà mediam noctem adveniunt juvenes ad sylvam Deæ ANDRASTES, in ipso tempore, quo DRUIDES CARACTACUM in ordinem sacrum erant adscripturi. Capiunt autem duos BRIGANTES. Supervenit etiam ARVIRAGUS, qui ex pugnæ periculo servatus erat, et deinceps in copias patris dispersas colligendo occupatus, ut illi daretur contra hostes incedere. Fortitudo autem et mors ARVIRAGI,

EVELINÆ

EVELINÆ lamentatio, VELINI insidiæ, ELIDURI virtus et audacia, cum captivitate CARACTACI, tragœdiam exhibent plenam affectuûm.

SCENA quidem fabulæ est in MONA. CHORUS constat ex DRUIDIBUS MONENSIBUS, qui adsunt, CARACTACI casum miserantes.

MVSEVM BRITAN NICVM

DRAMATIS PERSONÆ.

AULUS DIDIUS GALLUS, Cohortis Romanæ præfectus.

VELINUS, } Filii Cartiſmanduæ, reginæ Bri-
ELIDURUS, } gantûm.

CHORUS Druidum.

CARACTACUS.

EVELINA, Filia Caractaci.

ARVIRAGUS, Filius Caractaci.

NUNCIUS.

MINISTER.

Alter NUNCIUS, &c.

Prologum autem agit AULUS DIDIUS.

CARACTACUS

APUD

MONAM.

ACTUS I.

AULUS DIDIUS, ELIDURUS, VELINUS.

IAMBI.

AULUS DIDIUS.

AD ſecretum inſulæ umbilicum pervenimus;
Aſpicite, aſpicite miraculum! Antiqua quercus
Planitiem refrigerat denſis ramis.
Tum tenebricoſus aquarum ductus, murmurans
Circùm rudem aram, et hæ cavernæ
Rupium, circus lapidibus conſtructus,
Atque antra, domicilia ſanctorum vatum,
Cor percutiunt timore comam horrere facienti,
Perinde ac ſi quis Geniorum hîc adeſſet
Nocivorum, et infeſto greſſu
Horrendùm incederet — Quî hæc ita ſunt, commilitones?
Vana licèt ſint Geniorum ſpectacula,

Et

Et visio falsa, tamen dominatur
Deus hîc quidam montanæ solitudinis,
Mentis tyrannus—Quare aliter me
Terret ista impura superstitio?
Sed *eam* contemnam—Evocate, ministri,
Juvenes Brigantes: nunc enim apertè incipio
Iis commonstrare, quapropter hûc advenimus.
O filii reginæ Cartismanduæ,
Adeste, et attentas ad aures
Quæcunque video, ordinatim exponite.

ELIDURUS.

Romane, quò tendis? terra est venerabilis:
